ΜΑΚΕΔΟΝΙΚΑ

ΗΤΟΙ

ΝΕΩΤΕΡΑ ΕΛΛΗΝΙΚΑ ΗΘΗ ΕΝ ΜΑΚΕΔΟΝΙΑι ΕΝ ΣΧΕΣΕΙ ΠΡΟΣ ΤΑ ΑΡΧΑΙΑ.

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΜΙΧΑΗΛ

ΜΑΚΕΔΟΝΟΣ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΛΟΓΙΑΣ.

ΠΕΡΙΕΧΟΜΕΝΟΝ.

Πρόλογος.—§. 1. Ἀρραβῶνες.—§. 2. Γάμος.—
§. 3.—Κηδεία νεκρῶν. — §. 4. Οἰωνῶν σημεῖα.—
§. 5. Μοῖραι.—§. 6. Νεραΐδες.—§. 7. Μαγεία —
§. 8. Βουρκόλακες.—§. 9. Καλικάντζαροι.

ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ ΣΥΡΟΥ

ΤΥΠΟΙΣ Ρ. ΠΡΙΝΤΕΖΗ

1879.

ΜΑΚΕΔΟΝΙΚΑ

ΗΤΟΙ

ΝΕΩΤΕΡΑ ΕΛΛΗΝΙΚΑ ΗΘΗ ΕΝ ΜΑΚΕΔΟΝΙΑι ΕΝ ΣΧΕΣΕΙ ΠΡΟΣ ΤΑ ΑΡΧΑΙΑ.

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΜΙΧΑΗΛ

ΜΑΚΕΔΟΝΟΣ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΛΟΓΙΑΣ.

ΠΕΡΙΕΧΟΜΕΝΟΝ.

Πρόλογος.—§. 1. Ἀρραβῶνες.—§. 2. Γάμος.—§ 3.—Κηδεία νεκρῶν. — §. 4. Οἰωνῶν σημεῖα.—§ 5. Μοῖραι.—§. 6. Νεραΐδες.—§. 7. Μαγεία —§. 8. Βουρκόλακες.—§. 9. Καλικάντζαροι.

ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ ΣΥΡΟΥ

ΤΥΠΟΙΣ Ρ. ΠΡΙΝΤΕΖΗ

1879.

ΤΩι ΣΕΒΑΣΤΩι ΜΟΙ

ΠΕΝΘΕΡΩι

ΚΥΡΙΩι

ΘΕΟΔΩΡΩι Ν. ΚΑΪΡΗι

ΤΩι ΜΟΝΩι ΤΑΙΣ ΕΝ ΓΕΡΜΑΝΙΑι ΜΑΘΗΣΕΣΙ ΜΟΥ ΑΡΩΓΩι

ΠΟΛΛΗΣ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΕΚΜΗΡΙΟΝ

ΤΗΝ ΒΙΒΛΟΝ ΤΗΝ ΔΕ

ΑΝΑΤΙΘΗΜΙ

ΒΟΗΘΗΤΙΚΑ ΒΙΒΛΙΑ.

C. Wachsmuth, das alte Griechenland im neuen. Bonn, 1864.

B. Schmidt, das Volksleben der Neugriechen. Leipzig, 1871.

D. H. Sanders, das Volksleben der Neugriechen. Mannheim, 1844.

E. Bybilakis, neugriechisches Leben, verglichen mit dem Altgriechischen. Berlin, 1840.

Ν. Γ. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτέρων ἑλλήνων. Ἐν Ἀθήναις, 1871 Κ. 1874.

Κοραῆ, ἄτακτα. Ἐν Παρισίοις, 1828—1835.

Θ. Β. Βενιζέλου, περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν ἀρχαίων ἑλλήνων. Ἐν Ἀθήναις, 1873.

Theodor Kind, neugriechische Volkslieder. Berlin, 1849.

N. Dossius, der Aberglaube bei den heutigen Griechen. Freiburg, 1878.

F. Grimm, deutsche Mythologie. Göttingen, 1854.

Πιττάκη, ἐφημερὶς ἀρχαιολογική. Ἐν Ἀθήναις, 1852.

Μ. Λελέκου, δημοτικὴ ἀνθολογία, ἐν Ἀθήναις, 1852.

ΠΡΟΛΟΓΟΣ.

Ὡς οἷόν τ᾿ ἐπιμελῶς τὴν συγγραφὴν τῶν νῦν ἐν Μακεδονίᾳ ἠθῶν ἐπιχειρήσας τὸ μικρὸν τοῦτ᾿ ἠδυνήθην ἀποτελέσαι πόνημα τὰς δόξας τοῦ ἐκεῖ λαοῦ περιλαμβάνον, ὧν ἐκτός τινων αἱ πλεῖσται τῆς ἀρχαιότητος γέννημα τυγχάνουσιν. Ἐπειδὴ δὲ κακῇ τύχῃ καὶ περὶ Μακεδονίας οὐδὲν σχεδὸν τῶν τοιούτων γεγραμμένον ἰδίᾳ εὕρηται, δηλῶ ὅσα περ αὐτός τε ἔτη εἴκοσιν ὅλα ἐκεῖ βιοὺς οἶδα καὶ παρ᾿ ἄλλων ἐμοῦ πρεσβυτέρων ἐρωτήσας ἔμαθον, παραβάλλων αὐτὰ τοῖς καὶ ἐν ἄλλαις ἑλληνικαῖς χώραις ὁμοίως διασεσωσμένοις.

Ὄντως μὲν γὰρ θαυμαστὸν λίαν καὶ τρανεστάτη τισι τῶν ἑλλήνων τὸ γένος ἔστιν ὅτε παραγιγνώσκειν βουλομένοις ἀπόδειξις (εἰ καὶ οἱ τοιοῦτοι πάνυ ὀλίγοι εἰσὶν, ὁ δὲ πλεῖστος καὶ σπουδαῖος ἐν Εὐρώπῃ τε καὶ πανταχοῦ, ᾧ περ οὕτω τῶν ἀλλοτρίων καὶ μᾶλλον τῶν ἑλληνικῶν ὡς τῶν ἰδίων μέλλει, λαὸς ἀληθὴς μορφωτὴς τοῦ φωτὸς δείκνυται) ὅτι καὶ μετὰ πλείστας καὶ πολυτρόπους ἐν πάσῃ ἑλληνικῇ γῇ χρονίας μεταβολὰς ἡ προτέρα τοῦ ἕλληνος φύσις οὐ μόνον οὐδαμῶς τι ἐμαράνθη ἀλλ᾿ ἔτι πλείονας κλάδους ἐξέτεινε βαθυρρίζους τὰς πατρῴας ἀρχὰς διαφυλαξαμένη.

Ἀλλὰ ταῦτα ἐγὼ μὲν προθύμως καὶ πάσῃ δυνάμει πονήσας διὰ βραχέων ὡς σαφῶς δίειμι, τὰ δὲ πολλὰ ἄλλοις τῆς παιδείας θεράπουσι συλλέξαι καὶ εἰς φῶς ἀγαγεῖν καταλείπω· πολλὴ γὰρ καὶ οὐκ ὀλίγον λυσιτελὴς καὶ ἡ ἐκ τούτων τῇ ἐπιστήμῃ γενέσθαι δύναται ὠφέλεια.

Εὔχομαι δ' ἵνα εἰς τὸν μετὰ ταῦτα χρόνον προσηνεῖ πως καὶ μὴ ὡς ἄχρι τοῦ νῦν λίαν χαλεπῇ μοίρᾳ καὶ εἰς τὴν εὐκλεεστάτην ποτὲ τοῦ Ἀλεξάνδρου πατρίδα τῶν γραμμάτων αἱ πρόοδοι εἰσελάσασαι τὴν ποθουμένην θεραπείαν ἐπενέγκωσι!!

Ἱκανὰ τοίνυν ταῦτα μόνον νομίζων ἐν προοιμίῳ εἶναι τῶν διηγήσεων εὐθὺς ἀπὸ τῶν αἰτίων τοῦ γάμου ἄρχομαι.

§ 1. ΑΡΡΑΒΩΝΕΣ.

Τὰς πρὸς γάμον συνθήκας κοινῶς ἀρραβῶνας (1) ἢ δακτυλίδωμα (2) καλουμένας γυναῖκες τὰ πολλὰ γραῖαι περαίνουσιν, αἵτινες προξενήτριαι, (3) ὡς γάμου πρόξενοι, ὀνομάζονται, ὑπὸ τῶν γονέων ἢ τούτων μὴ ὑπαρχόντων ὑπὸ συγγενῶν δύο νέων πρὸς ἀλλήλους (4) ἀποστελλόμεναι· οὐδαμῶς δ' ἔξεστί ποτε παρθένῳ αὐτῇ νέῳ τινι ἀρραβωνίζεσθαι.

Ἡ μνήστευσις δ' αὕτη ἀμοιβαίᾳ δακτυλίων ἀλλαγῇ γίγνεται (5) καὶ παραυτίκα παρόντος ἱερέως καὶ ἄλλων μαρτύρων ἡ τῇ μνηστευομένῃ παρεχομένη προὶξ καὶ χρήματά που καταγράφεται. (6)

Ὁ δὲ μνηστὴρ χρυσᾶ τινα πλέον ἢ δέκα ἐπὶ τούτῳ διατετρυπημένα κατὰ τὸ ἄκρον νομίσματα τῇ μνη-

---

(1) Ἴδ. τὴν λέξιν ἐν τῷ καθ' ἡμᾶς λεξικ. ὑπὸ Σκαρλάτου Βυζαντίου. Ἀθήνησι, 1839.

(2) Πρβλ. Χουρμούζη Κρητικὰ σελ. 28. Ἀθήνησι 1843. C. Wachsmuth, das alte Griechenland im neuen S. 82. Θ. Β. Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχαίων ἑλλήνων § 43. Ἀθήνησι, 1873. πρβλ. Δημοσθ. Π. Στεφάν. σ. 1134.

(3) Πρβλ. Ξενοφ. ἀπομν. 2, 6, 36. συμπόσ. 4. 61.— Πλάτ. Θεαίτ. 150.— Πολυδεύκ. 3, 31. Ἴδ. καὶ Meier u. Schoeman d. att. proc. S. 409.

(4) Πρβλ. Εὐριπ. Ἀνδρομ. 987. Ξενοφ. Κύρ. παιδ. Η.— Ἴδ. καὶ Stoll, Bilder aus dem altgriechischen Leben. S. 77.

(5) Πρβλ. Χουρμούζη Κρητικ. σελ. 27.

(6) Ἴδ. Wachsmuth, das alte Griechenland im neuen S. 83. Βενιζέλ. π. τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. Ἑλλήν. § 42.

στῇ ὡς δῶρον ἐξαποστέλλει, (7) ἅπερ αὐτὴ καθ' ὅλον τὸν τῆς μνηστεύσεως χρόνον ἄχρι τῆς τελετῆς τοῦ γάμου ἐν ὁρμαθῷ περὶ τὸν τράχηλον φέρει.

Ἐν πολλοῖς δὲ μακεδονικοῖς τόποις οὐδεμία χρημάτων σὺν τῇ προικὶ προσφορὰ καταλέγεται ἀλλὰ τἀνάπαλιν γίγνεται, τοῦ μνηστῆρος δῆλα δὴ τοιαύτην μόνον τοῖς γονεῦσι τῆς κόρης προτείνοντος, (8) ὥσπερ καὶ τοῖς ἀρχαίοις ἦν ἔθους.

Μετὰ δὲ ταῦτα γενομένων κατὰ νόμον τῶν ἀρραβώνων οὐκ ἔξεστι τῷ μνηστῆρι πολλάκις καὶ μόνῳ τὸν οἶκον τῆς μνηστῆς ἐπισκέπτεσθαι, (9) εἰ μὴ ἐν ἑορταῖς ἐπισήμοις μετ' ἄλλου τινὸς προσερχόμενος.

§ 2. ΓΑΜΟΣ.

Ὁ δὲ γάμος κατὰ βούλησιν τοῦ μνηστῆρος θᾶσσον ἢ βράδιον γίγνεται ἐν γνώσει πρὶν καὶ τῶν γονέων τῆς μνηστῆς κατὰ τοῦτο ὄντων, ἵνα τὰ τῆς προικὸς ἐν καιρῷ παρασκευασθῇ· ὀκτὼ δὲ πρὸ τῆς τελετῆς ἡμέρας στελλόμενα πρὸς τὴν μνηστὴν δῶρα μετά

(7) Πρβλ. Karl Seifart. deutsche Hochzeitsgebräuche. 2. Bd. S. 146.

(8) Ὁμήρ. Ἰλιάδ. Λ. στ. 244.— Ἀριστοτ. πολιτ. 2. 8. σ. 1268.— Ἴδ. καὶ Θ. Βενιζέλ. περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχαίων ἑλλήνων §. 42. Stoll, Bilder aus dem altgriechischen Leben p. 77.

(9) Πρβλ. C. Wachsmuth, das alte Griechenland im neuen S. 83. Θ. Βενιζέλ. §. 43.

τινος ἐκ μέλιτος πλακουντίου τὸ ἐγγὺς αὐτῆς ἀκριβῶς ὁρίζουσι. (1)

Τέσσαρας δὲ πρὸ τοῦ γάμου ἡμέρας ἡ νύμφη μετὰ συγγενῶν καὶ φίλων γυναικῶν τῷ ἐν τῇ πόλει ὑπάρχοντι γυναικείῳ λουτρῷ προσερχομένη ἀποκαθαίρεται (2) καὶ οἱ τοῦ γάμου κοινωνήσοντες ἐν ταύτῃ γραπτῶς καλοῦνται (3) οἵτινες ἀμφοτέροις μετὰ μεσημβρίαν τῇ παρασκευῇ ἀρχομένου τοῦ γάμου καλῶς κεκοσμημένοι προσέρχονται. (4)

Τελείας δὲ τῆς συναθροίσεως τῶν κεκλημένων ἐν τῇ αὐτῇ οὔσης πολλὰ ἑκάστῳ ποτὰ καὶ ἄλλαι γλυκοφαγίαι προσφέρονται, ἔνθα συνήθως ἥδε ἡ εὐχὴ ἐκφράζεται «καλορρίζικα νὰ ζήσουν, νὰ γηράσουν, μὲ καλὰ ὑστερινά!» (5) Μετὰ δὲ ταῦτα τὰ πρὸς ἀμοιβαίαν ἀποστολὴν τῶν τε νυμφίων καὶ τῶν οἰκείων αὐτῶν προκείμενα διάφορα δῶρα θεωρηθέντα ὑπὸ πάντων μουσικῇ ᾀδούσῃ εἰς ἑκατέρου τὸν οἶκον ἀποστέλλεται· (6) σὺν δὲ τούτοις παῖς φιάλην οἴνου ἀκρά-

(1) Πρβλ. Bybilakis, neugriechisches Leben verglichen mit dem Altgriechischen zur Erläuterung beider. Berlin, 1840.

(2) Θουκυδ. 2, 15. Πολυδ. 3, 43. Ἀρποκρατ. Λ. Λουτροφόρος. Εὐριπίδ. φοίν. 347.

(3) Ἴδ. Wachsmuth, das alte Griechenland im neuen. S. 85.

(4) Αὐτόθι. Ἴδ. Wachsmuth ὁμοίως.

(5) Πρβλ. Bybilakis, neugriechisches Leben verglichen mit dem Altgriechischen S. 34. Μ. Λελέκου, δημοτικὴ ἀνθολογία σελ. 20, ἐν Ἀθήναις, 1852.— Ἴδ. καὶ Sanders, das Volksleben der Neugriechen p. 144.

(6) Τὸ ἔθος τοῦτο δοκεῖ μοι ὅμοιον τοῖς ἀρχαίοις ἀπαυλίοις καὶ ἐπαυλίοις, διάφορον δὲ μόνον. ἅτε πρὸ τοῦ γάμου τελούμενον, ἴδ. Εὐσταθ. ἐν Ἰλιάδ. Ψ. 29. σελ. 1337, 43.

του μεστὴν ἔχων ταύτην ἀντ' ἄλλης ἄλλου οἴνου ἐν ἑκατέρῳ οἴκῳ ἀλλάσσει· οὐ χαλεπὸν δ' εὑρεῖν τί τοῦτο αἰνίττεται, ἀναμιμνησκομένους, ὅτι καὶ παρὰ τοῖς ἀρχαίοις ὡσαύτως ἔθει γιγνόμενον σημεῖον τῆς ὁμοθύμου καὶ νομίμου τῶν νυμφίων συνδέσεως ἦν. (7)

Δύο δ' ἕτεροι παῖδες, εἷς ἐξ ἑκατέρου οἴκου, χρυσᾶ δακτύλια κομίζοντες εἰς τὸν μικρὸν δάκτυλον τῶν νυμφίων βάλλουσιν, (8) ἐφ' ᾧ καὶ δῶρα λαμβάνουσι.

Τὸ δ' ὕψος τοῦ γάμου ἐν Σαββάτῳ γενομένης ἑσπέρας ἐστί· τότε μὲν γὰρ χοροὶ καὶ ᾄσματα σὺν ποτοῖς ἀναρίθμοις ἀκολουθεῖ πολλῶν ποτηρίων καὶ ἄλλων τοῦ οἴκου θραυομένων διὰ τὸ αἴσιον σύμβολον τοῦτο νομίζεσθαι. (9)

Τῇ Κυριακῇ δὲ ἀμφότεροι οἱ νυμφίοι μουσικοῖς ὀργάνοις καὶ τερπνοῖς ᾄσμασιν ὡς κάλλιστα καλλωπίζονται· καὶ τῷ μὲν νυμφίῳ λουομένῳ μὲν τάδε ᾄδουσι·

«Λούσατε τ' ἀρχοντόπουλον εἰς ἀργυρῆν λεγένην, (10) ἡ πάππια (11) φέρνει τὸ νερὸν, ἡ κίσσα τὸ σαποῦνι»· ξυρωμένῳ δὲ τάδε·

«Ἀργυρὸ ξυράφι σύρ' ἀγάλια, ἀγάλια, (12) τρίχα

---

(7) Πινδ. Ὀλυμ. 7.— Ἴδ. καὶ Θ. Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήνων. §. 43.

(8) Τοῦτο μόνον ἐν Μακεδονίᾳ ὅσον ἔγωγε εἶδα συμβαίνει.

(9) Ὁμοίως καὶ ἐν Κωνσταντινουπόλει ἐν ταύτῃ τῇ νυκτὶ γίγνεται, ὡς παρὰ τοῦ ἐκεῖθεν φίλου μου Γ. Γιασματζῆ ἐν Γοττόγγῃ ἔμαθον. Ἴδ. καὶ Wachsmuth, das alte Griechenland im neuen S. 87.

(10) Ἀντὶ λεκάνην. Ἴδ. Κοραῆ ἄτακτ. τόμ. 4 σελ. 276.

(11) Ἀντὶ πάππος πτηνόν. (Κοραῆ ἄτακτ. τόμ. 4 283).

(12) Ἀγάλια κατὰ Κοραῆν ἐν ἀτάκτ. τόμ. 2. σ. 4) παράγεται ἐκ τοῦ ἀγανός· σημαίνει δ' ἠρέμα.

μὴ ῥαΐσῃς (13) καὶ κακοκαρδίσῃς τ' ἀρχοντόπουλόν μας, τ'ἄστρον τὸ λαμπρόν μας».

Τῇ δὲ νύμφῃ πικρῶς δακρυρροούσῃ ἐν μὲν τῷ κτενίζειν αὐτὴν τάδε ψάλλουσιν·

« Ἔχεις μαλλι̯ὰ τετράξανθα ς' τῆς πλάταις σου ῥιγμένα, σοῦ τὰ κτενίζουν ἄγγελοι μὲ τὰ χρυσᾶ τὰ κτένι̯α». Ἐν δὲ τῷ κοσμεῖν αὐτὴν ἐνδυθεῖσαν ᾄδουσιν ὧδε·

«Ὅταν σ' ἐγένν' ἡ μάννα σου ὅλα τὰ δένδρ' ἀνθοῦσαν καὶ τὰ πουλάκι̯α 'ς τῇ φωλι̯αῖς καὶ ἐκεῖν' ἐκελαδοῦσαν».

Μετὰ δὲ τὴν κόσμησιν, ὡς πρέπον, λέγουσι τὰ ἑπόμενα·

«Σήμερα λάμπ' ὁ οὐρανός, σήμερα λάμπ' ἡ ἡμέρα, σήμερα στεφανόνεται ἀετὸς τὴν περιστέρα». (14)

Τῇ αὐτῇ δὲ μετὰ μεσημβρίαν πάντες οἱ περὶ τὸν νυμφίον συναθροισάμενοι μετὰ μεγάλης πομπῆς πρὸς τὴν νύμφην πορεύονται, ὅπως αὐτὴν παραλάβωσιν· (15) ἐπὰν δὲ ἐκεῖ ἀφίκωνται, γονέων, ἄλλων οἰκείων καὶ συγγενῶν αὐτὴν περιπαθῶς καὶ μετὰ δακρύων ἀσπαζομένων χορὸς παρθένων ψάλλει ὧδε·

«Μι̯ὰ βαμβακοῦλα φουντωτή, ποῦ εἶχα ς τὴν αὐλή μου, τὴν σκάλιζα, τὴν πότιζα, ἤλπιζα νά την ἔχω· μὰ ξένος μ' ἦρθε πάνξενος, ἦρθε καὶ μοῦ τὴν

(13) Γίνεται πιθανῶς ἐκ τοῦ ῥάσσειν, οὐδὲν δὲ τῷ ῥαΐζειν τὸ ὅμοιον.

(14) Ἴδ. ταῦτα παρὰ Theodor Kind, neugriechische Volkslieder S. 20. Leipzig, 1849. Πρβλ. καὶ Sanders, das Volksleben der Neugriechen p. 104—Wachsmuth, das alte Griechenland im neuen S. 88

(15) Πρβλ. C. Wachsmuth, das alte Griechenland im neuen S. 88.

πῆρε· δὲν σ' εἶπ' ἐγώ, μαννοῦλά μου, μιὰ, δυὸ καὶ τρὶς καὶ πέντα, τὸν ξένον μὴ τὸν δέχεσαι, ποῦ ἔρχετ' εἰς τὴν αὐλή σου, τί σε γελᾷ, τί σε πλανᾷ τὴν βαμβακιά σου παίρνει· κρύψε με, μάννα, κρύψε με, νὰ μή με πάρ' ὁ ξένος.» (16). Τότε δ' ἄνθρωποι τοῦ νυμφίου πρὸς τοῦτο ὡρισμένοι ἐν πλήρει τάξει τὰ τῆς προικὸς, ἀπὸ χειρὸς εἰς χεῖρα ἕκαστον ἀποδιδόντες, συλλέγουσι· τὴν δὲ νύμφην ἐφ' ἵππου ἢ πέζῃ (17) δύο παράνυμφοι (18) ἐκ τῶν βραχιόνων αὐτὴν κρατοῦντες παραλαμβάνουσι καὶ εὐθέως εἰς ἐκκλησίαν πρὸς τὴν νόμιμον στέψιν (19) πάντες προσβαίνουσι, τοῦ μὲν νυμφίου μετὰ τῶν αὐτοῦ προπορευομένου, ἑπομένων δὲ τῶν τῆς νύμφης· αὐτὴ δὲ κεκαλυμμένη τὸ πρόσωπον ἄγεται. (20)

Μετὰ δὲ τὴν στέψιν οἱ μὲν τῆς νύμφης οἴκαδε πάλιν ἐπιστρέφουσιν, αὐτὴ δὲ πρὸς τὸν οἶκον τοῦ νυμφίου ὁδηγουμένη πορεύεται προχωρούντων τῶν μουσικῶν ὀργάνων, ὀρχουμένων τινῶν καὶ ἄλλων ᾀδόντων. (21) πρὸς τὸν οὐδὸν δ' ἀφικνουμένη πολὺ προσέχει τὸν νοῦν, ὅπως μετὰ τοῦ δεξιοῦ πρῶτον πο-

---

(16) Ἴδ. Μ. Λελέκου δημοτ. ἀνθολογ. σελ. 18.

(17) Προβλ. Θ. Βενιζέλου, περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν ἀρχ. ἑλλήν. §. 31.

(18 Καὶ παρὰ τοῖς ἦν παράνυμφος, ὅστις καὶ πάροχος ἐλέγετο, ἅτε τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ἅμα παρουχούμενος. Ἴδ. Θ. Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήν. §. 31. — Stoll, Bilder aus dem altgriechischen Leben p. 408. — Bybilakis, neugriechisches Leben, verglichen mit dem altgriechischen S. 34.

(19) Ἴδ. αὐτ. ὡσαύτως Bybilakis.

(20) Ἴδ. Stoll, Bilder aus dem altgriech. Leben p. 408.— Wachsmuth, d. alte Griech. im neuen S. 89.

(21). Πρβλ. Ὁμήρ. Ἰλ. σ. στ. 494. — Πολυβ. 4. 80.

δὸς εἰσέλθῃ, (22) ὅθεν καὶ ἡ τοῦ λαοῦ παροιμία «ἐμβῆκε μὲ δεξὶ πόδι.» Εἰσελθούσῃ δ' εὐθὺς ἄρτος τις καὶ φιάλη πλήρης οἴνου ἐγχειρίζεται μεθ' ὧν τὴν κλίμακα τῆς οἰκίας ἀνέρχεται, (23) τὸ εὐτυχὲς εἰς τὸν νέον οἶκον φέρουσα· εἶτα δ' εἰς εὔκοσμον ἄγεται θάλαμον σὺν γυναικὶ θεραπαίνῃ, (24) ἥπερ ἐκ τῶν γονέων αὐτῇ ἐπί τινας ἡμέρας ὡς ἀκόλουθος παρέχεται· καὶ γὰρ ἐν τῇ πρώτῃ μετὰ τὸν γάμον ἑβδομάδι τοὺς περὶ τὸν νυμφίον οὐ πρέπον αὐτῇ εἴτινος δέοιτο, ἀμέσως αἰτεῖσθαι μόνον δὲ διὰ ταύτης τὰς ἀνάγκας πληροῦν.

Μετὰ βραχεῖαν τῆς νύμφης ἐν τῷ θαλάμῳ ἀνάπαυσιν προσέρχεται ἡ πενθερὰ αὐτῆς δύο τεμάχη ζακχάρεως φέρουσα, ὧν ἑκάτερον παρόντος καὶ τοῦ νυμφίου τοῖς συζευξαμένοις παρέχει, ὅπερ σύμβολον μεγάλης πρὸς ἀλλήλους ἀγάπης ἐστί· (25) τοῦτο δὲ φαγόντες συγχορεύουσιν, ἄχρι οὗ ἡ τράπεζα (26) πρὸς εὐωχίαν ἕτοιμος γένηται, ἧς παρατεθείσης πάντες ἐκτὸς τῆς νύμφης μεταλαμβάνουσιν· αὐτὴ μετὰ

---

(22) Πρβλ N. Dossius, der Aberglaube beiden heutigen Griechen S. 2. Freiburg, 1878.

(23) Πρβλ. Σχολιαστ. Ἀριστοφ. Πλούτ. 768. ἴδ. καὶ C. Wachsmuth, das alte Griechenland im neuen S. 97.

(24) Ὡσαύτως ἐν τῇ ἀρχαιότητι γυνή τις ἐκ τῆς πατρῴας οἰκίας τῇ νύμφῃ ἠκολούθει, νυμφεύτρα καλουμένη. ἴδ. Stoll, Bilder des altgriechischen Lebens p. 410.

(25) Πρβλ. Πλουτάρ. Σόλ. 20.— Θ. Βενιζέλ. περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν ἀρχ. Ἑλλήνων. §. 45.— C. Wachsmuth, das alte Griechenland im neuen S. 95.— Μ. Λελέκου, δημοτ. ἀνθολογ. σ. 16.

(26) Ἴδ. Πλουτάρχ. συμπόσ. Δ. γ'.

τῆς θεραπαίνης καί τινων παρθένων ἰδίᾳ δειπνεῖ (27). Μετὰ δὲ τὸ φαγεῖν οἱ μὲν ὀρχοῦνται οἱ δὲ πρὸς τὸν ἦχον τῶν ὀργάνων ᾄδουσιν· ὅθεν ἡ πᾶσα ἠχεῖ οἰκία ἔκτ' ᾀσμάτων καὶ ποδοκρουσίας τῶν ὀρχουμένων, ὡς καθ' Ὅμηρον ἐν τῇ γαμικῇ θοίνῃ ἐν τοῖς ἀνακτόροις τοῦ Μενελάου ἐγένετο. (28)

Οὕτω μὲν τοίνυν καὶ ταύτην τὴν ἡμέραν διέρχονται εὐφραινόμενοι· νυκτὸς δὲ τῆς αὐτῆς βαθείας γενομένης ἡ νύμφη σύνευνος τῷ νυμφίῳ κατακλίνεται ἢ ἐν ἄλλοις τόποις ἐν τῇ νυκτὶ τῆς ἐπαύριον διὰ τὸ κακὸν τοῦτο ἐν ἑορτῇ ὑπολαμβάνεσθαι· τὴν δὲ πρωΐαν τῆς ἀκολούθου πρὸ τῆς ἐγέρσεως τούτων χορὸς νέων πρὸ τοῦ νυμφικοῦ θαλάμου ᾄδει τάδε·

«Τώρα τὴν αὐγὴ τώρα τὸ καλοκαίρι
τώρα τὰ πουλ̮ιὰ, τώρα τὰ χελιδόν̮ια,
τώρ' ἡ πέρδικες γλυκολαλοῦν καὶ λέγουν·
ξύπν' ἀφέντη μου, ξύπνα, χρυσέ μ' ἀφέντη,
ξύπν' ἀγκάλ̮ιασε κορμὶ κυπαρισσέν̮ιο
ἄσπρονε λαιμὸν, βυζάκ̮ια σὰν λεμόν̮ια,
σὰν κρύο νερό». (29)

Μετὰ μεσημβρίαν δὲ τῇ δευτέρᾳ μετὰ τὸν γάμον

---

(27) Πρβλ. C. Wachsmuth, das alte Griechenland im neuen. S. 98. Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήνων §. 47

(28) Ὁμήρ. Ὀδυσσ. Δ. 15. «ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα γείτονες ἠδὲ ἔται Μενελάου κυδαλίμοιο τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς φορμίζων . . . . . .»

(29) Πρβλ. Θεοκρίτ. Εἰδύλ. 18. 54.— Εὐστάθ. ἐν Ὀδυσ. ε. στ. 432. — Ἴδ. καὶ Stoll, Bilder aus dem altgriechischen Leben p. 410.— C. Wachsmuth, das alte Griechenland im neuen. S. 99.

γονεῖς μετὰ τῶν αὐτῶν τῆς νύμφης μουσικαῖς ᾠδαῖς μεταβαίνοντες αὐτὴν ἐπισκέπτονται καὶ μυστικάς τινας νουθεσίας αὐτῇ ἰδίᾳ γυναῖκες παρέχουσι.

Μετὰ δὲ ταῦτα τῇ τρίτῃ ἢ ὡς ἀλλαχοῦ πέμπτῃ μετὰ τὸν γάμον γονεῖς καὶ συγγενεῖς ἐγγύτατοι τῆς νύμφης πρός τινα εὐωχίαν εἰς τὸν οἶκον τοῦ νυμφίου καλοῦνται, ὅτε πρὸς τοῖς ἄλλοις καὶ πλακοῦς χερσὶ τῆς νύμφης κατασκευασθεὶς παρατίθεται πρὸς βρῶσιν. (30) Τῇ δὲ παρασκευῇ πρὸς ἑσπέραν πρὸς τοὺς γονεῖς τῆς νύμφης οἱ νεόγαμοι προσέρχονται, παρ' οἷς ἄχρι τῆς ἐπομένης εὐθὺς Κυριακῆς διατρίβουσι· καλεῖται δ' ἡ ἑορτὴ αὕτη ἐν μὲν Μακεδονίᾳ «τὰ ἐπιστρόφια», (31) ἀλλαχοῦ δ' «ἀντίγαμος», (32) μεθ' ἣν πέρας ἐστὶ τοῦ γάμου.

§ 3. ΚΗΔΕΙΑ ΝΕΚΡΩΝ.

Ἀσθενοῦς θνήσκοντος πρῶτον μὲν εὐθὺς εἷς τῶν συγγενῶν αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ τὰ χείλη συλλαμβάνει, (1) αἱ θύραι τοῦ θαλάμου ἐκείνου ἀνοίγον-

(30) Καὶ παρὰ τοῖς ἀρχαίοις τοιαύτη τις εὐωχία τὰς πρώτας μετὰ τὸν γάμον ἡμέρας ἐγίγνετο. Ἴδ. Stoll, Bilder aus dem altgriechischen Leben p. 412.

(31) Ἐπιστρόφια καλεῖται, ὡς ἐπιστρεφούσης πάλιν τῆς νύμφης εἰς τὸν πατρῷον οἶκον.

(32) Ἴδ. E. Bybilakis, neugriechisches Leben, verglichen mit dem altgriechischen S. 47.—Χουρμούζη, Κρητικὰ σ. 29. —Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήνων § 47.

(1) Πρβλ. E. Bybilakis, neugriechisches Leben verglichen mit dem Altgriechischen S. 63. Ἴδ. καὶ Ὁμήρ. Ὀδυσσ. Λ.

ται καὶ συνάμα φῶς καὶ θυμίαμα ἅπτεται· (2) εἶτα δὲ τὸν νεκρὸν θερμὸν ἔτι ὄντα (3) τοῖς καλλίστοις, ἃ κέκτηται, τῶν ἱματίων ἐνδύουσι καὶ ἄνθεσι τῆς ὥρας ἰδίᾳ νέον τυγχάνοντα περικοσμοῦσιν· (4) εἰσὶ δὲ καὶ τόποι, ἔνθα τὴν ἀρχαίαν δανάκην ἐν τοῖς χείλεσι τοῦ νεκροῦ βάλλουσιν· (5) οὕτω δ᾽ αὐτὸν κεκοσμημένον εἰς εὐπρεπῆ φέρουσι θάλαμον, ἐνῷ πᾶσαι αἱ γυναῖκες περὶ αὐτὸν καθεζόμεναι τοῦ θρήνου γοερῶς ἄρχονται.

Νέῳ τῷ θανόντι τηλικοῦτοι κλαυθμοὶ, θρῆνοι καὶ κοπετοὶ ὑπὸ γυναικῶν παρέχονται, ὥστε αὐτὰς λίαν καταπόνους καὶ ὡς τὰ πολλὰ ἀσθενεῖς γίγνεσθαι· καὶ γὰρ τὴν μὲν κεφαλὴν αὐτῶν καὶ τὰ στέρνα τύπτουσι, τὰς παρειὰς τοῖς ὄνυξιν ἀμύσσουσι, τὰς κόμας σπαράσσουσι καὶ συνελόντι εἰπεῖν καὶ τοῦ νεκροῦ ἀμορφότεροι καὶ οἰκτρότεραι κατὰ Λουκιανὸν (6) καθίστανται. Εἰσὶ δὲ πρὸς ταῖς προσηκούσαις καὶ ξέναι πολλαὶ, αἵτινες ἐπὶ τοῦ νεκροῦ τοὺς ἀποθανόντας συγγενεῖς αὐτῶν κλαίουσι, πολλὰ τοῖς κάτω φίλοις εἰπεῖν αὐτῷ ἐντελλόμεναι. (7)

Πλέον ἢ πέντε καίδεκα συνήθως ὥρας τὸ νεκρὸν

στ. 424, «ἡ δὲ κυνῶπις νοσφίσατ᾽ οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἄδαο χερσὶ κατ᾽ ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ᾽ ἐρεῖσαι.— Πλάτ. Φαίδ. 118.

(2) Πρβλ. Πρωτοδίκου, περὶ τῆς παρ᾽ ἡμῖν ταφῆς σελ. 11. ἐν Ἀθήναις, 1860.

(3) Πρβλ. Ὁμήρ. Ἰλιάδ. σ. στ. 350.—Εὐριπ. Ἱππόλ. 799.

(4) Ἴδ. Λουκιαν. περὶ πένθ. 11, 927. Πρβλ. καὶ C. Wachsmuth, das alte Griechenl. im neuen S. 108.

(5) Ἴδ. Πρωτόδ. περὶ τῆς παρ᾽ ἡμῖν ταφ. σ. 14. Wachsmuth S. 117.— Πρβλ. Λουκ. Π. πένθ. 10,926. Ἡσύχ. ἐν λ. δανάκ.— Σουΐδαν.— Μέγα ἐτυμολογ.

(6) Λουκ. Π. πένθ. 12,927.— Ὁμήρ. Ἰλ. Ω, 717.

(7) Πρβλ. C. Wachsmuth, d. alte Griechenl. im neuen S. 109. Ἴδ. καὶ Stoll, Bilder aus dem altgriech. Leben p. 473.

σῶμα κεῖται ἄταφον παρὰ συγγενῶν καὶ φίλων θρηνούμενον· ἂν δὲ καθ' ἑσπέραν θάνῃ τις τὴν πᾶσαν νύκτα φυλάττεται πολλῇ προσοχῇ, ἵνα μὴ γαλῆ τις ἢ ἄλλο τι τῶν τοῦ οἴκου ζώων τῷ σώματι ἐπιδράμῃ, καὶ γὰρ ἄλλως βουρκόλακας ὁ θανὼν γίγνεται. (8)

Τὰ τῆς ἐκφορᾶς δ' ἔχει ὧδε· πρὸ τῆς οἰκίας κοινὸν τοῦ τόπου φέρετρον φέρεται, (9) ὅπερ, νέου μὲν τοῦ νεκροῦ τὴν ἡλικίαν ὄντος, λευκῷ, ἢ ἐρυθρῷ ἢ ποικίλῳ περιβάλλεται πρὸς τὸ κόσμιον ὑφάσματι, πρεσβύτου δὲ, μέλανι· ἑτοίμου δ' αὐτοῦ γενομένου, κατατιθέμενος ἐντὸς ὁ νεκρὸς ἐκκομίζεται, φερόμενος ὑπὸ φίλων μόνων ἀνθρώπων. (10)

Ἅμα δὲ τῇ ἐκκομίσει ὑδρία πλήρης ὕδατος κατὰ γῆς θραύεται. (11) Πορευομένων δὲ πάντων μετὰ τοῦ φερομένου νεκροῦ πρόσθεν μὲν οἱ ἄνδρες ἡγοῦνται, τούτοις δ' αἱ γυναῖκες ἕπονται· (12) ἄγεται δ' ὁ νεκρὸς εὐθέως εἰς ἐκκλησίαν, ἔνθ' εὐχαὶ πρὸς ἐξιλασμὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν ψάλλονται καὶ λόγοις ἐπικηδείοις αἱ πράξεις αὐτοῦ ἄξιαι ἐν τῷ βίῳ καὶ λυσιτελεῖς τῇ πόλει γενόμεναι ὑπὸ δοκίμου τινὸς ἀνδρὸς ἐπαίνοις ἐκτίθενται, ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ τάφου πάλιν ἀρχαίῳ ἔθει. (13)

Μετὰ δὲ τὸ ψάλλειν δοθέντος αὐτῷ τοῦ τελευ-

---

(8) Πρβλ. Wachsmuth, S. 114.

(9) Ἐν ἄλλαις ἑλλ. χώραις εἰς ἴδιον φέρετρον ἐμβάλλεται.

(10) Παρὰ τοῖς ἀρχαίοις κοινῶν μὲν ἀνθρώπων τὸ φέρετρον τῆς πόλεως τακτοὶ νεκροφόροι ἐκράτουν, τῶν δ' ἐν ὀνόματι διάσημοι νεανίαι. Ἰδ. Πλουτάρ. Τιμολ. 39.— Πλάτ. Νόμ. ιβ'. 947.

(11) Πρβλ. Πρωτόδ. περὶ τῆς παρ' ἡμῖν ταφῆς σελ. 13. —Wachsmuth, das alte Griechenland im neuen S. 119.

(12) Δημοσθ. κατὰ Μακ. 62.— Θ. Βενιζέλου, περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήνων §. 398.

(13) Θουκυδ. 2, 34. — Λουκιαν. περὶ πένθ. 93 ἰ.23. Πρβλ. κ. C. Wachsmuth, das alte Griech im neuen S 120.

ταίου ἀσπασμοῦ (14) παρά τε συγγενῶν καὶ φίλων πρὸς τὸν τάφον κομίζεται.

Ἔστι δ' ὁ τόπος, ἔνθ' οἱ νεκροὶ θάπτονται, τὰ πολλὰ ἐκτὸς τῆς πόλεως, ἵνα μὴ σηπομένων τῶν σωμάτων νόσοι παράγονται, καλούμενος μνημεῖα, μνήματα καὶ κοινότατα μνημόρια· πᾶς δὲ νεκρὸς ὀφείλει ᾗ νῦν εἰς τὰ πατρῴας κατατίθεσθαι θήκας, (15) αἳ θαπτικὰ ὀνομάζονται, πάσῃ οἰκίᾳ ἴδια καὶ ἀναμφήριστα ὄντα. Εἰς τὰς οἰκείας ἄρα θήκας ὁ νεκρὸς θάπτεται πρὸς ἀνατολὰς ἐστραμμένον ἔχων τὸ πρόσωπον, (16) σὺν δ' αὐτῷ καὶ τῶν ἱματίων ἢ ἄλλων κατὰ τὴν τάξιν καὶ τὸ ἐπάγγελμα πολλά, ὅσοις ζῶν οὗτος ἔχαιρεν, ἔθος ἐστὶ θάπτεσθαι. (17)

Ἐπὰν δ' ὁ τάφος φραχθῇ, πᾶς παρὼν εὑρισκόμενος χοῦν τῇ χειρὶ προς αὐτὸν ἐπιβαλὼν (18) ἀπέρχεται λαμβάνων ἄρτου τεμάχιον ἐν οἴνῳ βαπτόμενον. (19)

Οἱ δ' ἀπὸ τῆς ταφῆς εἴς τε τοῦ νεκροῦ καὶ εἰς τὸν ἴδιον ἐπανερχόμενοι οἶκον πρὸ τῆς ἔξω θύρας τὰς χεῖρας δεῖ ἀπονίπτεσθαι (20) πρὶν εἰσελθεῖν· νομίζε-

(14) Ἴδ. E Bybilakis, neugriechisches Leben verglichen mit dem Altgriechischen S. 66.—Wachsmuth, das alte Griech im neuen S. 121.

(15) Πρβλ. Δημοσ. Π. Εὐβουλ. 1307. «Ἔτι τοίνυν αὐτῷ παίδων τεττάρων γενομένων ὁμομητρίων ἐμοὶ καὶ τελευτησάντων, ἔθαψε τούτους εἰς τὰ πατρῷα μνήματα, ὧν ὅσοι πέρ εἰσι τοῦ γένους κοινωνοῦσι· καὶ τούτων οὐδεὶς οὐκ ἀπεῖπε πώποτε, οὐκ ἐκώλυσεν, οὐ δίκην ἔλαχεν».

(16) Ἴδ. Πρωτόδικον, περὶ τῆς παρ' ἡμῖν ταφῆς σελ. 13.

(17) Πρβλ. Στραβ. 8, 6. 23. Θ. Βενιζέλου, περὶ ἰδιωτ. βίου τῶν ἀρχ. ἑλλήν. §. 405.

(18) Πρβλ. Αἰλιαν. ποικίλ. ἱστορ. 5, 14.

(19) Ἴδ. καὶ C. Wachsmuth, das alte Griechenland im neuen S. 123.

(20) Πρβλ. Σχολιασ. ἐν Νεφέλ. Ἀριστοφ. 838. — Πολυδεύκ. ὀνομ. 8, 65.— Ἴδ. καὶ Πρωτόδικ., περὶ τῆς παρ'

ται γὰρ πᾶν μόλυσμα τὸν νεκρὸν ἀσπασαμένοις τυχὸν ἐγγενόμενον ἀποτρίβεσθαι.

Μετὰ δὲ τὴν ταφὴν τράπεζαι (21) ἐν τῷ οἴκῳ τοῦ ταφέντος πρὸς τῶν συγγενῶν αὐτοῦ παραμυθίαν παρατίθενται, ἔνθα πλὴν οἰκείων καὶ φίλων πᾶς τις συνδειπνῆσαι βουλόμενος δύναται. Ἐν ᾧ δὲ θαλάμῳ ὁ ἄνθρωπος ἐτελεύτησε φιάλη (22) μεστὴ ὕδατος τίθεται, ἐξ ἧς, ὡς πιστεύεται, τοῦ τεθνεῶτος ἡ ψυχὴ νυκτὸς προσερχομένη πίνει.

Τῇ δ' ἐπαύριον ὄρθρου βαθέος συγγενεῖς τῷ θανόντι γυναῖκες τῷ μνημείῳ προσέρχονται διάφορα ἄνθη καὶ ἄλλα πρὸς θυσίαν φέρουσαι, ἅπερ ἐπὶ τοῦ τάφου τιθεῖσαι περιπαθῶς τοῦ θρηνεῖν ἄρχονται. (23)

Πολλαὶ μετὰ ταῦτα θυσίαι τῷ νεκρῷ προσφέρονται, ὧν αἱ μᾶλλον συνήθεις αἵδε εἰσί· τὰ τρίτα ἢ αἱ τρεῖς ἡμέρας μετὰ τὴν ταφὴν θυσίαι, τὰ ἔννατα αἱ μεθ' ἡμέρας ἐννέα, τὰ σαράντα αἱ μετὰ τεσσαράκοντα. (24) Πρὸς δὲ καὶ μετὰ μῆνας ἕξ, μετὰ ἓν καὶ μετὰ τρία ἀπὸ τῆς ταφῆς ἔτη τοιαῦται γίγνονται. (25)

ἡμῖν ταφῆς σ. 13. — Bybilakis, neugriechisches Leben, verglichen mit dem Altgriechischen. S. 67.

(21) Ἡ καλουμένη νῦν μακαριὰ τελεῖται (Ἴδ. Κοραῆ ἀτάκτ. τ. 4. σελ. 301) ἢ τὸ ἀρχαῖον περίδειπνον. Ἴδ. Λουκιαν. π. πένθ. 9 3. 24 — Ἀρτεμιδ. ὀνειρ. 5, 82. — Ὁμήρ. Ἰλιάδ. ψ. 29. — Παβλ. Πρωτοδ. σελ. 16.

(22) Πρβλ. Bybilakis. S. 68. — Wachsmuth, S. 119.

(23) Ἑβραϊκῆς ἀρχῆς φαίνεται τὸ ἔθος τοῦτο μετὰ Χριστὸν εἰς Χριστιανοὺς περιελθόν. Ἴδ. Εὐαγγέλ. κατὰ Ἰωάν. κεφ. 20, 1. — Κατὰ Μάρκον κεφ. 16, 1. — Λουκ. 24, 1. — Ματθ. 28, 1.

(24) Αἱ τρεῖς αὗται θυσίαι καὶ παρὰ τοῖς ἀρχαίοις ὁμοίως καλούμεναι, ἀλλ' ἐκτὸς τῆς σαράντα, ἀνθ' ἧς ἡ τριακὰς ἦν. Ἴδ. Θ. Βενιζέλου περὶ τοῦ βίου τῶν ἀρχ. ἑλλήν. §. 407. — Stoll, Bilder aus dem altgriechischen Leben. p. 478.

(25) Πρβλ. Πρωτόδικον. περὶ τῆς παρ' ἡμῖν ταφῆς σ. 16. Bybilakis, neugriechisches Leben. S. 69.

Ἐν πάσαις ταῖς θυσίαις ταύταις, αἵπερ ἐκ κολύβων (26) συνίστανται, καὶ οἶνος ἐκ φιάλης τρὶς ὑπὸ ἱερέως ἐπὶ τοῦ τάφου κατασπένδεται. (27)

Τὸ πένθος δὲ τῶν συγγενῶν διὰ τοῦ μελανειμονεῖν καὶ παντὸς ἡδονὴν φέροντος ἐπὶ μακρὸν χρόνον ἀπέχειν δείκνυται, τοὺς δ' ἄνδρας καὶ τῷ μακρὸν τὸν πώγωνα φέρειν. (28)

Παρελθόντων δὲ τριῶν ἢ καὶ πέντε μετὰ τὸν θάνατον ἐτῶν, τὰ ὀστᾶ τοῦ ταφέντος ἐξορύσσεται καὶ μεθ' ἱερέως ἐν τῷ ναῷ εὐλογίαν εἰς κοινὸν ἁπάντων κοιμητήριον κατατίθεται. (29)

§ 4. ΟΙΩΝΩΝ ΣΗΜΕΙΑ.

Ἡ ἀρχαία ἑλλήνων τε καὶ ῥωμαίων τῇ οἰωνοσκοπίᾳ πίστις (1) ἔτι καὶ νῦν παρά τε τοῖς ἐν Μακεδονίᾳ καὶ ἀλλαχοῦ ἕλλησι καλῶς διασεσωσμένη εὑρίσκεται· ὡς γὰρ παρ' ἐκείνοις οὕτω καὶ τοῖς δε τῆς δεξιᾷ ἢ ἀριστερᾷ πτήσεως σκοπουμένης καὶ τῶν τυχαίων τῶν ὀρνίθων κρωγμῶν διερευνωμένων αἴσια ἢ ἀπαίσια τὰ σημεῖα νομίζεται· (2) ἡγεῖται γάρ τις

(26) Πρβλ. B. Schmidt, das Volksleben der Neugriechen. S. 51. Bybilakis, S. 69.

(27) Πρβλ. Ὁμήρ. Ὀδυσσ. Κ. 518. Ω. 73.— Αἰσχ. Πέρσαι 615. Χοηφ. 86.

(28) Πρβλ Εὐριπ. Ἑλέν. 1087.—Ἰφιγέν. ἐν Αὐλ. 1416. — Ἀθήν. 15, 675.— Ἀρτεμιδ. ὀνειρ. 1, 29.— Εὐστάθ. ἐν Ὁμ. Ἰλιάδ. Β. 6.

(29) Ἴδ. C. Wachsmuth, d. alte Griechenl. im neuen S. 124.

(1) Ξενοφ. Ἀπομ. 1, 1, 3. — Δίων Κάσσ. 62, 6. — Grimm, deutsche Mythol. p. 944.

(2) «Οὗτος ἀνὴρ (Ἑρμεγίσκλος) ξὺν Οὐάρνων τοῖς λογιμωτάτοις ἐν χωρίῳ τῳ ἱππευόμενος ὄρνιν τινὰ ἐπὶ δένδρου

δυνάμει θείᾳ τοιαύτας κινήσεις γίγνεσθαι· διὸ πᾶν εὐτυχὲς ἢ δυστυχὲς αὐτῷ συμβήσεσθαι προσδοκᾷ· Τῶν πολλῶν δὲ τοιούτων δοξῶν εἰσι καὶ τάδε·

1) Κακοῦ πρόδηλος ὁ κοκκυσμὸς ἀλεκτορίδος ὑπολαμβάνεται, ἥπερ ἡ φύσις τοῦτο ποιεῖν οὐκ ἀπένειμεν· ὅθεν οἱ πολλοὶ τούτου συμβαίνοντος ταύτην σφάττουσι, μηδαμῶς δὲ τοῦ κρέως αὐτῆς γευόμενοι. (3)

2) Καλὸν σημεῖον, ὅταν ποτὲ πελαργοὶ ἐπὶ στέγης οἴκου τὰς αὐτῶν φωλεὰς κατασκευάζωσι· τοῦτο γάρ, ὡς πιστεύουσι, τὸ εὐτυχὲς ἐκείνου τοῦ οἴκου σύμβολον. (4)

3) Χαρᾶς ἄγγελοι κρωγμοὶ κολοιοῦ ἐπὶ στεγῶν ἢ ἄλλων τῆς οἰκίας μερῶν εἰσι· διὸ οἱ ἐνοικοῦντες τεμάχη σάπωνος τῷ πτηνῷ παραβάλλειν εἰώθασι. (5)

4) Γλαυκός που κρωζούσης ὄλεθρος μέγας οὐ μόνον ἐν ᾗ οἰκίᾳ τὸ πτηνὸν ἱστάμενον τοῦτο ποιεῖ ἀλλὰ καὶ πάσῃ τῇ χώρᾳ προαγγέλλετ' ἐπικείμενος. (6) τὸ παράπαν γὰρ τὸ ζῶον τοῦτο, ὅπερ τοῖς ἀρχαίοις τῶν Ἑλλήνων ὡς σύμβολον τῆς Ἀθηνᾶς σω-

---

τε καθημένην εἶδε καὶ πολλὰ κρώζουσαν· εἴτε δὲ τῆς ὄρνιθος τῆς φωνῆς ξυνεὶς εἴτε ἄλλο μέν τι ἐξεπιστάμενος, ξυνεῖναι δὲ τῆς ὄρνιθος μαντευομένης, τερατευσάμενος, τοῖς παροῦσιν εὐθὺς ἔφασκεν, ὡς τεθνήξεται. . . . . τῇ δὲ τεσσαρακοστῇ ἀπὸ τῆς προρρήσεως ἡμέρᾳ νοσήσας τὴν πεπρωμένην ἐνέπλησεν. (Ἴδ. τοῦτο παρὰ Grimm, deutsche Mythol. p. 945.

(3) Πρβλ. N. Dossius, der Aberglaube bei den heutigen Criechen. S. 5.

(4) Ἴδ. Grimm, deutsche Mythol. p. 949. καὶ N. Dossius. S. 4.

(5) Πρβλ. Dossius, αὐτόθι S 4.

(6) Πρβλ. Grimm, deutsche Mythologie. S 950.— C. Wachsmuth, das alte Griechenland im neuen. S. 106. —Πρωτόδ., περὶ τῆς παρ' ἡμῖν ταφῆς. σελ. 18.— N. Dossius, der Aberglaube bei den heutigen Griechen. S 5.

τηρίας πρόξενον ἐνομίζετο, τῆς νῦν φθορᾶς καὶ κινδύνων ἐπαγωγὸν ὑπολαμβάνεται· καὶ ὡς ἀράν τις δὲ κατά τινος ἐν Μακεδονίᾳ τῷ ὀνόματι αὐτοῦ χρῆται λέγων.

«Ἄμποτε νὰ λαλήσουν κουκουβάϊαι (7) εἰς τὸ ἔρημόν του».

§ 3. ΜΟΙΡΑΙ.

Πιστεύεται, ὡς αἱ μοῖραι, τύχαι (1) καὶ ἄλλως καλούμεναι, τρεῖς (2) ἅμα εἰσὶ συνδιαιτώμεναι, αἵ περ τρεῖς (3) μετὰ τὴν γέννησιν ἑκάστου ἡμέρας τῷ οἴκῳ προσερχόμεναι τὰ ἐν τῷ βίῳ τῷ ἀνθρώπῳ μέλλοντα συμβήσεσθαι ἐγγράφουσιν, (4) ἣν πρᾶξιν ὁ λαὸς μοιραίνειν, μοιρόνειν, ἢ μοιράζειν (5) καλεῖ. Ἐξεικονίζονται δ' αὗται ὡς γραῖαι τὰ τοῦ προσώπου σχῆμα βλο-

(7) Κουκουβάϊα ἡ γλαὺξ κοινότερον λέγεται· ἔστι δ' ἡ λέξις κατὰ Κοραῆν ἡ αὐτή, παρ' Ἡσυχίῳ Κοκκοβάρη ἀπαντῶσα. (Ἴδ. Κοραῆ ἄτακτα ἐν τόμ. 4. σελ. 248.)

(1) Πρβλ. B. Schmidt, das Volksleben der Neugriechen. S. 210. καὶ Griechische Märchen, Sagen und Volkslieder S. 65.— Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτέρων ἑλλήνων σελ. 208. Ἀθήνησι, 1874.— Ἴδ. καὶ W. Mannhardt, Germanische Mythologie S. 582.

(2) Ὡσαύτως καὶ παρὰ τοῖς ἀρχαίοις τρεῖς ἦσαν αἱ Μοῖραι, ἡ Κλωθώ, ἡ Λάχεσις καὶ ἡ Ἄτροπος. Ἴδ. Ἡσιόδ. Θ. 217, 904.— Ἀπολλόδ. 1, 3.— Preller, griechische Mythologie 1, 332.

(3) Ἴδ. Schmidt, das Volksl. der Neugriechen. S. 211.— Θ. Βενιζέλου περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχαίων ἑλλήνων § 113.— Hahn, albanesische studien. S 148.

(4) Πρβλ. Θ. Βενιζέλ. αὐτόθι § 113.—Ν. Πολίτην σ. 211.

(5) Πρβλ. C. Wachsmuth, das alte Griechenl. im neuen S. 71.— Σακκελλαρίου, Κυπριακὰ τόμ. Γ. σ. 344.

συραὶ κ. ἐς ἄκρον χαλεπαὶ ποτ' ὀργιζόμεναι. (6) Λέγεται δ' ἡ μὲν αὐτῶν καλομοῖρα, (7) ὡς τοῦ λυσιτελοῦς ἀεὶ τῷ ἀνθρώπῳ κηδομένη ἀπὸ τῆς γεννήσεως ἄχρι τῆς τελευτῆς αὐτοῦ, κακομοίρα (8) δ' ἡ δευτέρα διὰ τὸ τῆς ἔργοις τῆς πρώ της ἀεὶ διατελεῖν ἀντιπράττουσαν. Ἡ δὲ τρίτη τὰς ἐνεργείας τῶν δύο πρώτων κλώθειν λέγεται. (9) Ἐκ τουτων ἄρα καὶ τοῦ λαοῦ αἱ ἄγαν συνήθεις φράσεις «καλόμοιρος ἢ καλομοίρης, κακόμοιρος ἢ κακομοίρης, (10) καὶ ἔτι καλορρίζικος καὶ κακορρίζικος, (11) καλότυχος καὶ κακότυχος» ἐγένοντο. Συνήθως δέ τις καὶ τάδ' ἀκούει λεγόμενα· «μοῦ ἦτο γραφτὸ νὰ πάθω, ἔτσι μ' ἔγραψεν ἡ μοῖρά μου, ἢ τέτοια ἦτο ἡ μοῖρα, ποῦ μ' ἀμοίρανεν·» (12) ὅθεν καὶ τὸ κοινὸν τόδε τετράστιχον·

«Ἡ μοῖρα ποῦ σ' ἐμοίρανεν
  ἀδράχτ' εἶχ' ἀσημένιο
καὶ νῆμα ἀπὸ μάλαμα
  σφοντύλι κοραλλένιο». (13)

(6) Ὁμοίως παρὰ τοῖς ἀρχαίοις ἐνομίζοντο. Ἴδ. Κ. Κοντογόνου, ἑλλην. μυθολ. σελ. 50. — Ovid metam. XV 781. — Catull. 64, 30ˢ. — Κοραῆ ἄτακτ. τόμ. 2. σελ. 251.

(7) Ἴδ. Schmidt, das Volksl. der Neugriech S. 212. — Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτ. ἑλλ. σ. 336.

(8) Αὐτόθι 212 Schmidt.

(9) Πρβλ. Schmidt, das Volksleben der Neugriechen S. 212

(10) Πρβλ. Θ. Βενιζέλου, περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν ἀρχ. ἑλλήν. § 113. — Σ. Εὐλαμπίου, ὁ Ἀμάραντος ἤτοι τὰ ῥόδα τῆς ἀναγεννηθείσης Ἑλλάδος σ. 27 ἐν Πετρουπόλει, 1843. — Κοραῆ ἄτακτ. τόμ. 2. σελ. 166. — Schmidt. S. 215.

(11) Αὐτ. Κοραῆ ἄτακτ. — W. Mannhardt, germanische Mythol. S. 582.

(12) Πρβλ. Κοραῆ ἄτακτ. τόμ. 2 σελ. 251. — Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτέρ. ἑλλήν. σ. 218. — Schmidt, das Volksl. der Neugriech. S. 215.

(13) Πρβλ. Θ. Βενιζέλ. περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχ. Ἑλλήν. § 113.

Αἱ φράσεις δ' αὗται πολὺ ταῖς τε τοῦ Ἡροδότου «τὴν πεπρωμένην μοῖραν ἀδύνατόν ἐστιν ἀποφυγέειν καὶ Θεῷ» (14) καὶ ταῖς τοῦ Ἡλιοδώρου «τοὺς μοιρῶν ἀτρέπτους ὅρους προϊδεῖν μὲν δυνατὸν ἐκφυγεῖν δ' οὐχ ἐφικτόν» (15).

Ὡσαύτως δ' ἐκ στόματος τῶν πολλῶν καὶ τάδ' ἀκούεται πολλάκις λεγόμενα· «τὸν ἀγαπᾷ ἡ τύχη, τὸν ἀκολουθεῖ ἡ τύχη του ἡ καλὴ, δουλεύει ἡ τύχη του καλὰ, εἶνε τυχερὸς καὶ καλομοιραμένος,» ὡς καὶ τ' ἀνάπαλιν «τὸν κατατρέχει ἡ τύχη, εἶνε κακομοιραμένος, γύρισεν ἡ τύχη του» (16).

Ἐν πάσῃ τῇ ἐλευθέρᾳ καὶ μὴ Ἑλλάδι τῇ εἰκοστῇ τετάρτῃ μηνὸς Ἰουνίου, ἑορτῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου πανηγυρικῶς τελοῦνται ὑπὸ παρθένων οἱ καλούμενοι κλήδονες (17) καὶ ἐν τούτοις αἱ δόσεις τῶν μοιρῶν δοκιμάζονται· ποιοῦσι δὲ ὧδε·

Ἑκάστη δῆλα δὴ τῶν τῆς πανηγύρεως τῆς ἑορτῆς μετεχουσῶν παρθένων τῇ ἑσπέρᾳ τῆς προτεραίας σημεῖον ἴδιον ἐν ὑδρίᾳ ὕδατος μεστῇ βάλλει· πάντα δὲ τὰ σημεῖα κατὰ τὴν ἑορτὴν ᾠδαῖς καὶ λόγοις αἰνιγματώδεσιν, οἵπερ δὴ τὸ εὐδώρητον καὶ μὴ ἑκάστη τῶν μοιρῶν ὑποφαίνουσι, πάλιν ἐκβάλλεται (18).

Ἀλλὰ καὶ ἄλλως τὰ τῶν μοιρῶν γραφήματα (19) ὑπὸ παρθένων ἐν Μακεδονίᾳ δοκιμάζεται· τῇ πρώτῃ

(14) Ἡρόδ. Α. 91.

(15) Ἡλιόδωρ. Αἰθιοπ. Β. 24.

(16) Πρβλ. Κοραῆ ἄτακτ. τόμ. 2. σ. 99. — B. Schmidt, das Volcsleben der Neugriechen S. 221.

(17) Παρατήρησ. τὴν λέξιν ἐν τῷ λεξικῷ τῆς καθ' ἡμᾶς γλώσσ. ὑπὸ Σκαρλάτου Βυζαντίου.

(18) Πρβλ. Κοραῆ ἄτακτ. τόμ. 4 σελ. 233.— Bybilakis, neugriechisches Leben, verglichen mit dem altgriechischen. S. 25.— Sanders, das Volksleben der Neugriechen S. 144. — N. Dossius, der Aberglaube bei den heutigen Griechen. S. 10.

(19) Ἴδ. τὴν λέξιν ἐν Κοραῆ ἀτάκτ. τόμ. 2. σ. 251.

γάρ τοι τῆς μεγάλης πρὸ τοῦ πάσχα τεσσαρακοστῆς ἑβδομάδι πᾶσα παρθένος τρεῖς πάσας ἡμέρας (20) νηστεύουσα καὶ μήτε τροφῆς μήτε ποτῶν γευομένη διέρχεται· ἡγεῖται γὰρ δόξῃ οὕτω πράξασα τὸν ἐν τῇ γεννήσει ταῖς μοίραις αὐτῇ ὡρισμένον νυμφίον ἰδεῖν καθ' ὕπνον καὶ καταμαθεῖν δυνήσεσθαι· διὸ τῇ παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος, ἐν ᾗ διὰ τὴν ἐπιοῦσαν τοῦ ἁγίου Θεοδώρου θυσίαι ἐκ κολλύβων (21) ἐν τοῖς ναοῖς προσφέρονται, μέρος τούτων πᾶσα νηστεύσασα διά τινος παραλαμβάνει καὶ τοῦτο νυκτὸς κατακλιθῆναι μέλλουσα μετὰ τοῦ πρώτου ἐγκάφου, ὃν δειπνοῦσα τοῦ στόματος κρυφίως ἐκβάλλει, τίθησιν ὑπὸ τὸ ἑαυτῆς προσκεφάλαιον τάδε μορμύρουσα·

«Καλή μου μοῖρα, ἀξίωσέ με νὰ ἰδῶ καὶ νὰ γνωρίσω ἀπόψε τὸν ἄνδρα, ποῦ μὲ ὥρισες, μὲ τὴν βοήθειαν καὶ τοῦ θαυματουργοῦ ἁγίου Θεοδώρου!»

Οὕτω δὲ καὶ ἐν ἁπάσῃ τῇ Ἑλλάδι τοῖς κολύβοις, ἃ ἐν ταύτῃ τῇ ἑορτῇ ἁγιάζεται, πᾶσα παρθένος ᾀσμένως ποιεῖ καὶ ἐν Ἀθήναις ἔτι. Ταὐτὸ δ' ἔτι καὶ νῦν ἐν ἄλλαις τε Γερμανίας πόλεσι (22) καὶ ἐν Δρέσδῃ (23) κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου Ἀνδρέου τελούμενον εὑρίσκεται.

Τῇ τῶν μοιρῶν τέλος δυνάμει καὶ τάδε προστίθεταί ποτε γιγνόμενα·

1) Τυχαῖοι ὀφθαλμῶν παλμοὶ δόξῃ ἀρχαίᾳ (24)

---

(20) Νηστεύουσι τῇ μὲν δευτέρᾳ καὶ τρίτῃ συνεχῶς, τῇ τετάρτῃ ποιοῦνται διακοπὴν γευόμεναι καὶ ὅλῃ τῇ πέμπτῃ πάλιν νηστεύουσι.

(21) Ἴδ. Schmidt, das Volksleben der Neugriechen. S. 51.

(22) Ἴδ. Göthes Faust 1. Theil, vor dem Thor. S. 21.

(23) Τοῦτο ἔμαθον παρὰ τῆς ἐκ Δρέσδης ἐνταῦθα συζύγου τοῦ φίλου μου Γ. Γιασματζῆ.

(24) Θεόκριτ. 3, 37. «Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ αὐτάν. . . .» Πρβλ. κ. Bybilakis, neugriechisches Leben verglichen mit dem altgriechischen. S. 24.

τοῖς ἁπανταχοῦ καὶ νῦν Ἕλλησι καλὸν ἢ κακόν τι αἰνίττονται γενησόμενον.

2) Πταρμοὺς ὁμοίως καὶ νῦν τοῖς ἀρχαίοις (25) οἱ ἄνθρωποι ἀπεκδέχονται, καλὸν τὸ τέλος ἐπιχειρήσεως, αὐτῶν ἐπερχομένων, ἐλπίζοντες.

3) Κνησμοὶ ὀφρύων κακῶς δοξάζονται· ὁ γὰρ τοιούτων ποτὲ αἰσθανόμενος δέδοικε, μὴ πληγὰς ὑπό τινος λάβῃ (26).

4) Ὤτων βόμβοι κατὰ τοὺς πολλοὺς φίλους ἀπόντας αὐτῶν μεμνημένους σημαίνουσιν, οἷα καὶ παρὰ τοῖς ἀρχαίοις (27) εὑρίσκεται.

§ 6. ΝΕΡΑΪΔΕΣ.

Οὐδὲν ἀλλ' ἢ αὐταὶ τῶν ἀρχαίων αἱ Νύμφαι (1) αἱ νῦν Νεραΐδες ἢ Νεράϊδές (2) εἰσι.

Τὸ πλῆθος τιμᾷ ταύτας καὶ ἐν Μακεδονίᾳ ὡς εὐεργέτιδάς τε καὶ κακοποιοὺς (3) θεότητας τοῖς ἀν-

(25) Πρβλ. Ὁμήρ. Ὀδυσσ. Ρ. 545. — Θεοκρίτ. εἰδυλ. 7, 95 καὶ 18, 16. — Ξενοφ. Κύρ. ἀνάβ. 3, 2, 9. — Πλουτάρ. β. Θεμιστ. 13.

(26) Εἶδον ἐν Καστορίᾳ τῆς Μακεδονίας πτωχὸν ἄνθρωπον ὅλως δύσθυμον καθήμενον· πυθόμενος δὲ τὴν αἰτίαν ἔλαβον ὡς ἀπάντησιν τάδε· «φοβοῦμαι, ἔφη, μή τινι ἔρισι περιπεσὼν βλάβην σχῶ. Καὶ γὰρ οὗτος ὁ ὀφρύων κνησμὸς τῆς κακομοίρας τῆς ἐμῆς κακὴ ἐνέργεια.»

(27) Λουκιαν. ἑταιρ. διάλογ. 9, 2.

(1) Ἴδ. ἐν Κ. Κοντογόνου Μυθολογ. σελ. 91.

(2) Ἴδ. Κοραῆ ἄτακτ. τόμ. 2. σ. 257. — C. Wachsmuth, das alte Griechenl. im neuen. S. 53. — Schmidt, das Volksleben der Neugriech. S. 99. — Ν. Γ. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτέρ. ἑλλήνων σ. 81.

(3) Πρβλ. Wachsmuth, das alte Griechenl. im neuen. S. 30. — Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτ. ἑλλήν. σελ. 97.

θρώποις ἡγούμενον εἶναι· καλεῖ δ' αὐτὰς εὐλαβείᾳ (4) εὐφήμως ὁτὲ μὲν «Μελιτένιας» (5) ὁτὲ δὲ «καλὰς Νάβας». (6).

Πιστεύουσι δ' ὡς αἱ μὲν τῶν Νεραΐδων ἐν πεδίοις καὶ ὄρεσιν, αἱ δ' ὑπὸ στέγαις οἴκων καὶ ἄλλαι ἐν θαλάσσαις, λίμναις, ποταμοῖς καὶ πηγαῖς διατρίβουσι. (7) Κέκτηνται δὲ σχῆμα θαυμάσιον καὶ κάλλος ὑπερβάλλον· κόμας μὲν γὰρ, ἀεὶ λελυμένας, μελαίνας καὶ ἀκτινοβόλους, ὄμματα δὲ σπινθῆρας ἐκβάλλοντα ἔχειν φημίζονται. (8)

Σφοδρᾶς ποτε θυέλλης (9) ἐγειρομένης πολλοὶ τῇ τούτων ἐνεργείᾳ τοῦτ' ἀνατιθέασι καὶ πρὸς καταστολὴν τάδε μορμύρουσι.

«Μέλι καὶ γάλα, μέλι καὶ γάλα, μέλι καὶ γάλα·
κἄπ' ἀπ' ἐδῶ πέρασεν ὁ βασιλεὺς 'Αλέξανδρος,
ζῇ καὶ βασιλεύει, ζῇ καὶ βασιλεύει, ζῇ καὶ βασιλεύει».

Ὅτι μὲν δὴ μέλι, γάλα καὶ ἔλεον ὡς θυσία ταῖς

---

(4) Ὅτι πολὺ ὁ κοινὸς μᾶλλον λαὸς αὐτὰς εὐλαβεῖται, ἱκανὸν τόδε δεῖξαι· κλαίοντί μοι ἐν μικρᾷ ἔτι ἡλικίᾳ πρὸς ἡσυχίαν ἡ μήτηρ μου εἶπε· «ἂν δὲν παύσῃς θὰ σὲ πάρουν ἡ Νάβαις». Ἐπειδὴ δ' ἐγὼ ὡς παῖς δύσφημόν τι κατ' αὐτῶν εἶπον, πέπερι εἰς τὸ στόμα ἐνέβαλέ μοι, ὃ τὴν πᾶσαν μούγε κατέσχεν ἀναπνοήν, ὅπως μὴ καὶ πάλιν τοῦτο ποιήσω. Πρβλ Κοραῆ ἄτακ. τομ. 2. σελ. 258. καὶ 4. 211.

(5) Τὸ ὄνομα ταυτὸ τῷ μελίαι νύμφαι φαίνεται· ἴδ. Ἡσιόδ. Θεογον. 187.

(6) Τοῦτο λατινικὸν πάντως ἐστὶ γεννηθὲν ἐκ τοῦ novus-νέος, δια τὸ ἀεὶ ταύτας νέας εἶναι νομίζειν· ἔστι δὲ συγγενὲς τῷ νύμφῃ· πρβ. Εὐστάθ. ἐν Βοσσίου Ἐτυμολ. p. 350. —Schmidt, d. volksl. der Nugr. S 100.

(7) Πρβλ. Wachsmuth, S. 31.—Schmidt, S. 101. — Ν. Πολίτην σελ. 81.— Χουρμούζη, Κρητικὰ σελ. 69.

(8) Ἐν τοῖς δημοτικοῖς ᾄσμασι λέγεται τάδε· «ἡ ὤμορφη τῶν γυναικῶν κ' ὅλων τῶν Νεραΐδων» (λιανοτράγουδα σελ. 76). Καὶ «ἅμα ντυθῇς καὶ στολισθῇς, σὰν Νεραΐδα φαίνεσαι» ἴδ. Ν. Πολίτην σελίδ. 91.

(9) Τοιαύτην δύναμιν πνεύματα καὶ θυέλλας ἐγείρειν

νύμφαις προσεφέρετο καλῶς παρὰ συγγραφέων (10) μανθάνομεν. Ἀλέξανδρον δὲ τὸν μέγαν λέγεται σφοδρὸν ἐραστὴν μιᾶς αὐτῶν γενέσθαι (11) νυκτὶ (12) μόνον αὐτῇ διαλεγόμενον. Ταύτης ἄρα καὶ τῶν λοιπῶν αὐτῆς ἀδελφῶν εὐνοίᾳ πλεῖστον τὸ κράτος αὐτοῦ διεξέτεινεν, ὡς ὁ μῦθός ἐστιν, ἀποπεσὼν δι' εἶτα τῆς ἀγάπης αὐτῶν καὶ δυσάρεστος ὁ βασιλεὺς γενόμενος ἑαυτὸν καὶ τὸ κράτος αὐτοῦ εἰς ὄλεθρον ἤγαγε· φιλοῦσι γὰρ αὗται τοὺς πειθομένους αὐταῖς καὶ ὀλβίους καθιστᾶσιν, ἄλλως δὲ φερομένους ἐξολοθρεύουσι. (13)

Λίαν βλαβεραὶ περὶ μεσημβρίαν μάλιστα αἱ Νεραΐδες τοῖς ἀνθρώποις καθίστανται· (14) διὸ τοῖς καθημένοις παισὶν ἢ παίζουσιν ἐν οἷς τόποις αὗται συνήθως διατρίβουσιν ἐν ταύτῃ τῇ ὥρᾳ σφόδρα ἀπαγορεύεται· ὃς δ' ἄν ποτε τὴν ἡσυχίαν αὐτῶν διαταράξῃ, (15) εὐθὺς προσβάλλεται, ἤ, ἵνα τὰς φράσεις

εἶχον τῶν ἀρχ. αἱ ἅρπυιαι. ἴδ. Ἀπόλλων. Ἀργοναυτ. Β. 267. Πρβλ. Schmidt, das volksleben der Neugriechen S. 124.

(10) Ἴδ. Θεοκρίτ. εἰδυλλ. V, 53. καὶ 140. — Πρβλ. καὶ Wachsmuth, das alte Griechenl. im neuen S 31 καὶ 56.— Πιττάκη, ἐφημερ. ἀρχαιολογ. φυλ. 30. σ. 647. Ἀθήνησι, 1852.—Κ. Κοντογόνου Μυθολ. ἑλλην. σ. 91.

(11) Πρβλ. Schmidt, das Volksleb. der Neugriechen. S. 125.

(12) Νυκτὸς μόνον τὰς Νεραΐδας τοῖς ἀνθρώποις ἐγγὺς προσέρχεσθαι λέγεται καὶ ἀλέκτορος φωνοῦντος ἐν πνοῇ ἀνέμου πάλιν ἐξαφανίζεσθαι. Πρβλ. Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτέρ. ἑλλήν. σ. 120.—Schmidt, S. 118. 127.

(13) Καὶ αἱ Νύμφαι τοὺς ἀπίστους αὐταῖς καὶ μὴ εὐσταθεῖς πικρῶς ἐξεδίκουν. Ἴδ. Preller griechische Mytholog. 1. S. 565. f.— Πρβλ. καὶ Schmidt, das Volksl. der Neugriechen. S. 112. 121.

(14) Πρβλ. Wachsmuth, das alte Griechenland im neuen. S 30.— Schmidt, S. 119.— Ν. Πολίτ. σ. 106.

(15) Ἴδ. Θεοκριτ. εἰδύλ. 1. 15.— Πιττάκη ἐφημερ. ἀρχαιολ. φυλλ. 30. σελ. 647. ἔτ. 1852.

τοῦ λαοῦ εἴπω, σκιοπατεῖται, ὀξωπέρνεται ἢ λαβόνεται ὑπ' αὐτῶν (16).

Ποικίλας μορφὰς λαμβάνειν τὰς Νεραΐδας φασι τοῖς ἀνθρώποις ἐγγιγνομένας· ὁτὲ μέν τι κυνὸς, ὁτὲ γαλῆς, ὁτὲ ὄφεως καὶ πολλῶν ἄλλων ζώων (17).

Ἐξ ὅλων τῶν μύθων, οὓς πολλάκις παρὰ διαφόρων περὶ Νεραΐδων ἐν Μακεδονίᾳ διηγουμένους ἤκουσα πολὺ θαυμαστὸς ὁ ἑξῆς ἐφάνη μοι ὃν αὐτὴ ἡ ἀδελφή μου δέκα καὶ ὀκτὼ ἐτῶν τότε ἡλικίαν ἔχουσα ἐξέθηκέ μοι·

Πάνυ πρωῒ δῆλα δὴ ἡμέραν τινὰ, ἐπεὶ ὕδωρ ἐκ τῆς ἐν Καστορίᾳ λίμνης ἔλαβε καὶ τὴν ὑδρίαν ἐπ' ὤμου φέρουσα πάλιν οἴκαδ' ἐπανέκαμπτε, λίθος μικρὸς κατ' αὐτῆς οὐ μακρὰν τῆς λίμνης ἔτι οὔσης ἐβλήθη μόλις τὴν προσοχὴν αὐτῆς κινήσας· διὸ εὐθὺς μὲν ἐστράφη, ὅθεν ἡ βολὴ ἐγένετο, μηδὲν ἢ γαλῆν τινα ἐν τῇ παραλίᾳ μόνον ἱσταμένην ἰδοῦσα· νομίσασα δὲ, ὅτι πλάνῃ περιέτυχεν, ἐχώρει περαιτέρω· μετά τινα δὲ βήματα καὶ αὖθις ἕτερος λίθος μείζων αὐτῇ ἐπέπεσε· στραφεῖσα δὲ καὶ δεύτερον λαμπρῶς κεκοσμημένην νύμφην ἔνθα τὸ πρότερον γαλῆ ἦν ἐθεάσατο. Φόβου μὲν τοίνυν ἔμπλεως ἐπανελθοῦσα πρὸς ἡμᾶς τὸ συμβὰν διηγήσατο.

Πολλῶν πηγῶν ὕδατα διὰ τὸ κατοικίας τῶν Νεραΐδων νομίζεσθαι λυσιτελῆ ἄγαν καὶ ἰαματικὰ νόσοις γίγνεσθαι λέγεται, οἷον τὸ παρὰ τῇ μακεδονικῇ πόλει Κοζάνῃ Μπουρίνον καλούμενον ἄντρον,

---

(16) Πρβλ. τὸ τοῦ Πλάτων. ἐν Φαίδρ. 238. «ἀτὰρ, ὦ φίλε Φαῖδρε, δοκῶ τι σοί, ὥσπερ ἐμαυτῷ, θεῖον πάθος πεπονθέναι; Φαῖδρ. πάνυ μὲν οὖν, ὦ Σώκρατες. . . . Σωκρ. Σιγῇ τοίνυν μου ἄκουε· τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι· ὥστε, ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς.» Πρβλ. καὶ Wachsmuth, S. 53. 55. — Schmidt, S. 119—120.

(17) Πρβλ. Χουρμούζη Κρητικ. σ. 69.— Schmidt, S. 116. Ἰδ. καὶ Ἀπολλόδωρ. 111, 13, 5.

(18) ᾧ περ ὁ πολὺς ὄχλος ἐν σμήνει πρὸς θεραπείαν πάσχων προσέρχεται· ὁμοίας δ᾽ ἰσχύος καὶ ἡ ἐν τῇ νήσῳ Ἄνδρῳ πηγὴ τοῦ Ἁγίου Διονυσίου, ἧς τὰ ὕδατα τὸ πάλαι κατὰ Παυσανίαν (19) εἰς οἶνον μετεβάλλετο ἐν ἑορταῖς.

§ 7. ΜΑΓΕΙΑ.

Αὕτη ἡ τῶν ἀρχαίων μαγγανεία, γοητεία, ἡ φαρμακεία (1) καὶ ἡ νῦν μαγεία (2) ἐστιν· καὶ οἵαν μὲν τότε τις αὐτὴν δύναμιν ἔχειν ᾤετο περὶ τὸ ἑαυτῆς ἔργον οὕτω καὶ νῦν τοῖς ἀμβλύτερον τὸν νοῦν ἔχουσι συμβαίνει. Καὶ παρὰ μὲν τοῖς ἀρχαίοις τῶν Ἑλλήνων ἦν τοιαύταις τέχναις χρώμενον πλὴν τῶν ἀπείρων καὶ φαύλων ἰατρικῶν τὸ πονηρὸν ἔτι γένος τῶν μάντεων, γοήτων καὶ ἀγυρτῶν, οἵτινες τὸ πλῆθος πείθειν ἐπειρῶντο, ὡς αυτοῖς θεία δύναμις ἐνείη τὴν τῶν ἀνθρώπων στάσιν πολλαχῶς κατὰ βούλησιν μεταβάλλειν (3) νῦν δὲ πλάνοι τινὲς ἐξ αὐτοῦ τοῦ

---

(18) Πρβλ Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ β. τῶν νεωτέρων ἑλλήν. σελ. 85.

(19) Παυσαν. VI, KC. 1. Πρβλ. Ferdinand Neigebaur u. F Aldenhoven, Handbuch für Reisende in Griechenland. S. 33.— Ν Πολίτου μελέτη ἐπὶ τοῦ βίου τῶν νεωτ. ἑλλήνων σ. 86.

(1) Πρβλ. Δημοσθ. κατὰ Ἀριστογ 993—794.— Εὐςάθ. ἐν Ὁμήρ. Ἰλ. λ. 740. καὶ Ὀδυσσ. α. 260.

(2) Παρακτὴ ἡ λέξις ἀπὸ τοῦ μαγεύειν, ὅ ἐστιν ἀπατᾶν τινα. (Ἴδ. Κοραῆ ἄτακτ. τόμ. 5. σ. 175.— Λεξικ. τῆς ἑλλην. γλώσσ. ὑπὸ Σ. Βυζαντίου ἐν λ. μαγεύειν).

(3) Πλάτ. Πολιτ. 364. B. ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ Θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπῳδαῖς, εἴτε τι ἀδίκημά του γέγονεν αὐτοῦ ἢ προγόνων, ἀκεῖσθαι μεθ᾽ ἡδονῶν τε καὶ ἑορτῶν, ἐάν τέ τινα ἐχθρὸν πημῆναι ἐθέλῃ, μετὰ σμικρῶν δαπανῶν ὁμοίως δίκαιον ἀδίκῳ βλάψειν.— Πλούταρ. π. χρης. ἐκλει 417.—Σοφοκλ. Οἰδιπ. Τυράνν. στ. 388.

λαοῦ, καλούμενοι οἱ μὲν ἄνδρες μάγοι, αἱ δὲ γυναῖκες μάγισσαι καὶ μαγίστριαι· (*) διδάσκονται δὲ τοὺς τοῦ ἐξαπατᾶν τρόπους παρ' ἀθιγγάνων ἢ κοινότερον γύφτων, (4) οἵπερ, ἀπόκρυφά τινα ἐν ἑαυτοῖς γινώσκοντες, ἀπὸ χώρας εἰς χώραν μεταβαίνοντες τὴν τέχνην αὐτῶν μετέρχονται, δι' ἧς τὰ πρὸς τὸν βίον πορίζονται (5).

Μαγικοῖς μέν τοι ἔργοις καὶ ἄλλοι πολλοὶ μάλισται δὲ οἵδε προστίθεσθαι εἰώθασι·

Γυνὴ σφοδρὰς ἐν τῇ λοχείᾳ ὠδῖνας ἔχουσα μόνους σωτῆρας τῶν πόνων μάγων τὰς τέχνας αὐτῇ ἱκανοὺς ἡγεῖται καὶ τούτων τὰς προστρίψεις (6) καὶ πλεῖστ' ἄλλα παράλογα καὶ μετ' ἀλγηδόνων γιγνόμενα ἥδιον ἢ τὴν εἰδημόνων ἰατρῶν θεραπείαν ὑπομένει.

Φρικτῇ δ' ὑπόκειντ' ἀπάτῃ παρθένοι ἔτι ἄγαμοι χρήματά τε καὶ πᾶν ἄλλον κρύφα τοῖς μάγοις παρέχουσαι, τὸ μέλλον τῶν μοιρῶν καὶ τίς ὁ ἀνὴρ, ὅστις αὐταῖς ἔσεται, μαθεῖν θέλουσαι.

Καὶ ἄνδρες ὅμως οὐκ ὀλίγοι τοιούτοις χρῶνται μέσοις ἰδίᾳ δ' οἱ ἔναγχος γήμαντες καί πως ἀτόνως σὺν τῇ ἀλόχῳ νῦν ἔχοντες. Ἐπειδὴ τοίνυν ὑπ' ἐχθροῦ αὐτοῖς μαγείαις τὸ πάθος, ὃ ἀπόδεμα (7) καλεῖται, γενέσθαι νομίζουσι, κατάλυσιν δὲ πάλιν αὐτοῦ

(*) Πρβλ. N. Dossius, der Aberglaube bei den heut. Griech. S. 13.

(4) Ἴδ. τὴν λέξιν ἐν Κοραῇ ἀτακτ. τόμ. 4. σ. 37.

(5) Πρβλ. Ἐφημ. Πανδώρ. τόμ. 1. σελ. 305—307.

(6) Ἴδ. αὐτόθ. Πανδώραν.

(7) Πρβλ. Πλάτ. Νόμ. ιά. 933. — Ἴδ. καὶ Κοραῆ ἄτακτ. τόμ. 4. σ. 94. — C. Wachsmuth, das alte Griechenland im neuen S. 103. — N Dossius, der Aberglaube bei den heutigen Griechen. S. 12. — Μετάφρασ. περιηγήσεων τοῦ νέου Ἀναχάρσιδος ὑπὸ Κουροπαλάτου τόμ. 3. σ. 241 ἐν Βιέννῃ, 1819. — Χ. Πούλιου, περὶ καταγωγῆς τοῦ γένους τῶν νῦν ἑλλήνων. σελ. 53.

τοὺς περὶ τὰ τοιαῦτα μόνον σπουδάζοντας κατεργάσασθαι δυνατοὺς εἶναι, πάνυ προθύμως τοιούτους ἐπικαλοῦνται καὶ θεραπείαν παρ' αὐτῶν πολλοῖς προτεινομένοις δώροις ἐλπίζουσι.

Ἐνταῦθα καὶ ἡ βασκανία ὑπάγεται, ἧς τῇ ἐνεργῷ δυνάμει τὸ πάλαι καὶ νῦν οἱ ἁπανταχοῦ ἕλληνες ὑπαρβαλλούσῃ πίστει ἀνατίθενται (8).

Ἡγοῦνται γὰρ ἀνθρώπους ὑπάρχειν, ὧν τὸ περίεργον τοῦ βλέμματος βλαβερὸν σφόδρα καὶ τὰ πολλὰ θανάτου πρόξενον οἷς ὁρῶσι γίγνεσθαι, οὐ μόνον δ' ἀνθρώποις ἀλλὰ καὶ ζώοις. (9) διὸ πρὸς πᾶσαν ἀποτροπὴν τοιούτου τυχὸν κακοῦ σύνηθες λέγεσθαι τὸ «νὰ μὴ βασκαθῇς, νὰ μὴ βασκαθῇ. (10) Ἐπειδὴ δὲ τὰ βρέφη μᾶλλον τῇ βασκανίᾳ ὑπόκειται, σκόροδα πήγανον καὶ ἴασπιν τοῖς ἱματίοις αὐτῶν προσαρτῶσιν, ἃ καὶ παρὰ τοῖς ἀρχαίοις (11) κακῶν συμπτώσεων ἀπαγωγὰ ἐνομίζετο, καὶ ἕτερα προβασκάνια, χαμαγλιὰ τουρκιστὶ λεγόμενα, περὶ τὸν τράχηλον περιβάλλουσι. (12).

---

(8) Κοραῆ ἄτακτ. τόμ. 4. σ. 51. 52.— Βενιζέλου, περὶ τοῦ βίου τῶν ἀρχ. ἑλλήν. § 114.—Πιττάκη ἐφημερ. ἀρχαιολογ. φυλ. 30. σ. 6.— Ἴδ. καὶ Grimm, deutsche Mythologie. S. 920.

(9) Ἴδ. Δευτερονομ. ΚΗ'. 54. «βασκανεῖ τῷ ὀφθαλμῷ αὐτοῦ τὸν ἀδελφὸν αὐτοῦ». — Πρβλ. καὶ N. Dossius. S. 3.

(10) Ἴδ. ἀνωτέρ. Κοραῆ ἄτακτ. Τ. 5. σ. 51.

(11) Ἴδ. Διονύσ. περιηγ. 724. «ἠερόεσσαν ἴασπιν ἐχθρὴν ἐμπούσῃσι καὶ ἄλλοις εἰδώλοισι.» —Ἀριστοτέλ. προβλήμ. XX, 34. «διὰ τί τὸ πήγανόν φασι βασκανίας φάρμακον εἶναι». Πρβλ. Bybilakis, neugriechisches Leben, verglichen mit dem Altgriechischen. S. 10. — N. Dossius, der Aberglaube bei den heutigen Griechen. S. 3.

(12) Πρβλ. Πλουτάρ. Σύλλ. 29 καὶ Κάμμιλ. 21.— Κοραῆ ἄτακτ. τ. 4. σ. 52. — Θ. Βενιζέλ. περὶ τοῦ ἰδιωτ. βίου τῶν ἀρχαίων ἑλλήνων §. 114.— Wachsmuth, das alte Griech. im neuen. S. 62. 77. 79. — Πιττάκη, ἐφημ. ἀρχαιολογ. φυλλάδ. 30. σελ. 656.

Πᾶς δὲ βουλόμενος ἑαυτὸν ἢ ἄλλον, ὃν αὐτός ποτ' ἀσκαρδαμυκτεὶ εἰσορᾷ, ἐπικειμένης βασκανίας ἀπαλλάξαι, τρὶς εἰς τὸν αὐτοῦ πτύει κόλπον (13) ἢ πρὸ αὐτοῦ τοῦ ὁρωμένου. (14).

Τοιαύτης μὲν ἄρα τῆς βασκανίας ἐκλαμβανομένης τοῖς ὑπὸ ταύτης κεφαλαλγίαν, (15) ἐπιληψίαν (16) καὶ ἄλλας ὁμοίας νόσους (17) πάσχουσι πολλὰ τὰ πονηρὰ γραΐδια (18) ἐπιτεχνᾶται πρὸς ἴασιν φαρμακά τε καὶ ἄλλα· τοτὲ μὲν δῆλα δὴ τὰ τοῦ κάμνοντος ἱμάτια δεσμοῖς καταδεῖ (19) καὶ διαφόροις ἔργοις μαγικοῖς αὐτὰ μεταβάλλει, τοτὲ δὲ ποτά, ἐν οἷς ἄνθρακες καίοντες ἀποσβέννυνται, αὐτὸν πιεῖν καὶ καὶ χόνδρους ἁλῶν τρεῖς ὠμοὺς φαγεῖν κελεύει. (20)

---

(13) Πρβλ. Θεοκρ. Δαμοίτ. ἐν εἰδυλ. VI, 39. «ὡς μὴ βασκανθῶ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον· ταῦτα γὰρ ἁ γραία με κοτυτταρὶς ἐξεδίδαξε».

(14) Πρὸ τῶν νηπίων ἢ ἐν τῷ προσώπῳ αὐτὰ πτύει τις τὰ πολλά. Ἴδ. Αἰλιαν. ποικίλ. ἱστορ. 1, 15.

(15) Πρβλ. Πλάτ. Χαρμίδ. 115.

(16) Πρβλ. Δημοσθ. κατὰ Ἀριστογ. 794. 80.

(17) Ἴδ. Πινδάρ. Πυθ. γ'. 91.

(18) Ἴδ. Λουκιαν. ὁ Ἀποκηρυττόμ. 171, 14. — ἀνωτ. Θεοκρ. εἰδύλ. 6, 39.

(19) Πρβλ. Ἐν προηγ. Χωρίῳ Πλάτ. πολιτ. 364 C. «ἐπαγωγαῖς τισι καὶ καταδέσμοις τοὺς Θεούς, ὥς φασι, πείθοντές σφισιν ὑπηρετεῖν».

(20) Πρβλ. Χουρμούζη Κρητικὰ σελ. 26.—N. Dossius, der Aberglaube bei den heutigen Griechen. S. 3.—C. Wachsmuth, das alte Griechenland im neuen. S. 60.— Ἴδ. καὶ Grimm, deutsche Mythologie. S. 923.

§. 8. ΒΟΥΡΚΟΛΑΚΕΣ.

Ὅτι μὲν τὰ περὶ τούτων πάνυ ἀρχαία τυγχάνει οὐ δεῖ τινος ἀντιῤῥήσεως πιςῶν συγγραφέων (1) μαρτυρούντων· ἀλλὰ καὶ τὸ ξένον τῆς λέξεως ἀναμφισβήτητον, εἰ καί τινες τῶν ἡμετέρων (2) αὐτὸ ὡς ἑλληνικὸν ἀποδέχεσθαι φιλοῦσι, σαφῶς ἐν τῇ τῶν σλάβων λαῶν γλώσσῃ δεικνύμενον· πολωνιστὶ μὲν γὰρ uilkolak βουλγαριςὶ urkolak, βοημιςὶ ulkolak, καὶ σερβιστὶ uukodlak λέγεται. (3) ἐν διαφόροις δ' ἑλλήνων χώραις τροπὰς διαφόρους τοῦ ὀνόματος εὑρεῖν τις δύναται· ἐν Μακεδονίᾳ μὲν δὴ βουρκόλαξ ἢ βουρκόλακας λέγεται, ἐν ἄλλοις δὲ μεταθέσει βρουκόλαξ καὶ βροκόλαξ· ἔτι δὲ βουλκόλαξ, βουθρόλαξ καὶ ἀεὶ μετὰ καταλήξεως κας ἐκτὸς τῆς αξ· πρὸς τούτοις βρυκόλαξ, βουρβόλαξ, βουρδόλαξ, βορβόλαξ (4) εὕρηται· ἐν Κρήτῃ δὲ καὶ Ῥόδῳ καὶ ἑλληνιστὶ κατα-

---

(1) Πλάτ. Φαίδ. 81 c-d.— Ὁμήρ. ἰλιάδ. Ψ, 71 καὶ Ὀδυσσ. λ, 51.—Παυσαν. II, 118.

(2) Ὁ ἀοίδιμος Κοραῆς γέγραφεν, ὡς τὸ τῆς λέξεως ἔτυμον ἐν μορμολύκῃ εὑρίσκεται. ἴδ. Κοραῆ ἄτακτ. τόμ. 2. σελ. 84.

(3) Ἰστέον δ' ὅτι διάφορόν γε τῶν σλαβικῶν τούτων ὀνομάτων τὸ σημαινόμενον τοῦ ἑλληνικοῦ· ἐκεῖνα μὲν γὰρ ἐκ τοῦ Wolf γερμ. (λύκος) σλαβικῆς πηγῆς ὄντος καὶ τοῦ σερβικοῦ dlaka ἢ ἀρχ. βοημικοῦ tlaka παραγόμενα οὐδὲν εἰ μὴ δέρμα ἢ τρίχας λύκου δηλοῦσι· (Πρβλ. C. Wachsmuth, das alte Griechenl. im neuen S. 115.— Schmidt, das volksleben der Neugriechen. S. 159.—Grimm, deutsche Mythol. S. 397.— Sanders, das volksleben der Neugriechen, S. 314) τοῦτο δ' ἐν πάσαις ταῖς αὐτοῦ τροπαῖς νεκρὸν ἐκ τοῦ μνήματος ἀνιστάμενον, ὡς προϊόντος τοῦ λόγου ἐροῦμεν.

(4) Ἴδ. Κοραῆ ἄτακτ. τόμ. 5. σελ. 31 καὶ τ. 2. σ. 84. —C. Wachsmuth, das alte Griechenland im neuen S. 115. —B. Schmidt, das volksleben der Neugriechen. S. 158.

χανᾶς (5) (καταχαίνειν) καὶ ἐν Κύπρῳ σαρκωμένος (6) λέγεται.

Καὶ ῥήματα δ' ἐκ τῶν ἐκφράσεων τούτων ἐσχημάτισται· οἷον βουρκολακιάζειν, βρουκολακιάζειν, βρυκολακιάζειν, βουρδολακιάζειν (7) κ.λ.π.

Αἰτίας δὲ τοῦ βουρκολακιάζειν πολλὰς ὁμολογεῖται εἶναι· ἔνθεν μὲν κατάρας καὶ ἐκκλησίας ἀφορισμοὺς ἀρχιερέων ἢ ἄλλων κληρικῶν ἁμαρτιῶν ἕνεκα, ἔνθεν δὲ βιαίους θανάτους, ὡς ἀγχόνῃ, πνιγμῷ ἐν ὕδατι, φόνῳ καὶ τοῖς ὁμοίοις. (8)

Πρὸς δὲ καὶ πληγαί τινες τῷ θαπτομένῳ νεκρῷ ἐναπολειπόμεναι τὴν βουρκολάκιασιν ἐπενεγκεῖν δύνανται. (9)

Κατὰ τοῦ λαοῦ τὰ λεγόμενά γε νυκτὸς μάλιστα σπανίως δ' ἐν ἡμέρᾳ οἱ βουρκόλακες τοῦ τάφου ἐξέρχονται καὶ τοῖς οἴκοις αὐτῶν προσίασιν, ἔνθα τὰς θύρας ἰσχυρῶς πάνυ κόπτουσι, τοὺς ἐνοικοῦντας κατ'

---

(5) Ἴδ. Κοραῆ ἄτακτ. τόμ. 2. σ. 114.

(6) Ἡ λέξις πάντως ἑλληνική· ἔστι δὲ μετοχὴ τοῦ σαρκοῦσθαι ἀντὶ σεσαρκωμένος· σημαίνει δὲ σάρκας λαμβάνειν μείζονας, οἷα καὶ περὶ τούτων πιστεύουσι γίγνεσθαι.

(7) Πρβλ. ἐφημερ. Πανδώρ. ιά. φυλλ. 259. σ. 449.— Wachsmuth, S. 116.—Schmidt, S. 158.

(8) Πρβλ. Λουκ. φιλοψευδ. 29, 56. «ὅρα, ἔφη, ὦ εὔκρατες, μὴ τοῦτό φησι Τυχιάδης, τὰς τῶν βιαίως ἀποθανόντων μόνας ψυχὰς περινοστεῖν, οἷον εἴτις ἀπήγξατο ἢ ἀπετμήθη τὴν κεφαλὴν ἢ ἀνεσκολοπίσθη ἢ ἄλλῳ γέτῳ τρόπῳ ἀπῆλθεν ἐκ τοῦ βίου, τὰς δὲ τῶν κατὰ μοῖραν ἀποθανόντων οὐκέτι.—ἴδ. καὶ Πλάτ. Φαίδ. 81. «ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι».

(9) Ἐγὼ δ' αὐτὸς ἐν τῇ πατρίδι μου Καστορίᾳ παρέστην ὡς θεατής, ἐν ᾧ πρὸ δέκα σχεδὸν ἐτῶν γυναικὸς Βουλαίνης καλουμένης, τὸν ὀφθαλμὸν ἕλκη ἔχοντα θαπτομένης ἐκαυτηρίαζον, ὅπως μὴ δυνάμει τούτων βουρκόλαξ γένοιτο.

ὄνομα φωνοῦντες· (10)· δυνηθέντες δ' εἰσελθεῖν, εἰ φῶς ἀνημμένον τυγχάνει, ταχέως αὐτὸ σβεννύασι καὶ ἐν σκότει τὰ τῆς οἰκίας ἀνατρέπουσιν ἡδεῖς τροφὰς ἀναζητοῦντες εὑρεῖν καὶ μᾶλλον μέλι, ὅπερ αὐτοῖς πάνυ ἀρεστόν· κατ' ἄλλων δὲ πάλιν λόγους καὶ ἀνθρώπους τὰ δὲ πολλὰ συγγενεῖς, ἐντυγχάνοντές που αὐτοῖς, κατατρώγουσι (11)· διὸ ἡ δημώδης παροιμία γέγονεν «ὁ βουρκόλακας τὴν σειράν του κυνηγᾷ» (12) καὶ ἀπὸ τὴ γενεά του τρώγει» (13).

Τὰ βδελυρά τε καὶ κακοποιὰ ταῦτα εἴδωλα, ἅπερ, ὥς τις οἴεται, πονηρῶν δαιμόνων (14) αὐτοῖς δι' οὓς εἴπομεν ἐπερχομένους θανάτους εἰσδυόντων δυνάμει ἄρτι ταφέντα τοῦ τάφου πάλιν ἐξέρχεται, οὐκ ἄλλως ἐξαφανιστέα ἢ ἐν Σαββάτοις, (15) ὁπότε μόνον ὡς νεκρὰ καθεύδει, ἔνδον καταλαμβάνεσθαι καὶ εἴ εὐχῇ ἱερέως (16) μηδαμῶς, ὥστε λυθῆναι, μεταβάλλεται, φονεύεσθαι (17) δεῖ τοῦ δ' αἵματος τὰς σταγόνας καλῶς ἀποσβέννυσθαι· τούτων γὰρ καὶ πάνυ μικρῶν λειπομένων αὖθις δύναται προφαίνεσθαι.

---

(10) Πρβ. Schmidt, das Volksleben der Neugr. S. 165-166.

(11) Πρβλ. Αἰσχύλ. Εὐμεν. στ. 260. «ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον».

(12) Ἴδ. Θ. Βενιζέλου παροιμ. § 39. Ἀθήνησι, 1846.

(13) Πρβλ. Ἀραβαντινοῦ παροιμιαστήρ. π. 80 σελ. 818. Ἐν Ἰωαννίνοις, 1863.

(14) Πρβλ. ἐν τῷ εἰρημ. ἀνωτ. χωρίῳ 29, 56. Λουκ. «Τί δ' ἄλλο, εἶπεν ὁ Εὐκράτης, ἢ τουτονὶ τὸν ἀδαμάντινον πείθομεν—δείξας ἐμὲ—ἡγεῖσθαι δαίμονάς τινας εἶναι καὶ φαντάσματα καὶ νεκρῶν ψυχὰς περιπολεῖν ὑπὲρ γῆς καὶ φαίνεσθαι, οἷς ἂν ἐθέλωσι» — Αἰσχύλ. Εὐμεν. στ. 297. Πρβλ. ἔτι Wachsmuth, S. 116 καὶ 117.— Schmidt, d. volksleben der Neugriech. S. 163.

(15) Πρβλ. Bybilakis, neugriechisches Leben, verglichen mit dem Altgriechischen. S. 58.

(16) Ἴδ. αὐτόθι. Bybilakis καὶ Schmidt, S. 116.

(17) Πρβλ. Χρυσοβέργ. Κουροπαλάτ. μετάφρασις τοῦ νέου Ἀναχάρσιδος τοῦ περιηγητοῦ τόμ. 3 σελ. 245.

§ 9. ΚΑΛΙΚΑΝΤΖΑΡΟΙ.

Περὶ τῆς ἀρχῆς τοῦ μυθώδους τούτου ὀνόματος διάφοροι καὶ ἀσαφεῖς παρὰ τοῖς νῦν ἕλλησι γνῶμαι εὑρίσκονται· οἱ μὲν γὰρ δὴ ἐκ τοῦ καλὸς καὶ κάνθαρος (1) αὐτὸ παράγουσι, λέγοντες, ὡς τὸ πρῶτον τῆς συνθέσεως μέρος κατ' εὐφημισμὸν γέγραπται, οἱ δ' ἐκ τοῦ λατινικοῦ caligatus (2) καὶ ἄλλοι ἐκ τοῦ λύκος καὶ κάνθαρος (3) τούτων δέ πως πιθανὴ ἡ τρίτη κρίσις φαίνεται, διότι πολλάκις ὁ λαὸς καὶ ἐν Μακεδονίᾳ ταῖς λέξεσι λύκος καὶ καλικάντζαρος ἀμοιβαίως ἄνευ διαφορᾶς χρῆται· διὸ συχνῶ καὶ τοὺς τὸ παράπαν δυσειδεῖς, οἷα καὶ τὰ φαντάσματα ταῦτα εἶναί φασι, λύκους ἀποκαλεῖ.

Ἱκανῶς δὲ βέβαιον, ὅτι καὶ τὰ περὶ τούτων ἀρχαίᾳ δόξῃ τετύχηκε, σχέσιν ἔχοντα τοῖς ὑπὸ συγγραφέων γεγραμμένοις, ὥς ποτε ἄνθρωποι λύκου μορφὴν ἐλάμβανον καὶ δέκα ἐτῶν παρερχομένων τὴν προτέραν πάλιν ἀνεκτῶντο (4).

Παρίστανται τοίνυν οἱ Καλικάντζαροι ὥσπερ ἄνθρωποι τὸ ἀνάστημα καὶ τὴν τοῦ προσώπου μορφὴν ἐς ἄκρον ἀσχήμονες, πόδας ὅμως ὄνου ἢ τράγου (5) καὶ θηρίων ὄνυχας φέροντες (6)· ἐξέρχονται δὲ τῶν ζοφερῶν σπηλαίων, ἐν οἷς τὸν ἅπαντα βίον μετὰ τῶν

(1) Πρβλ. Κοραῆ ἄτακτ. τόμ. 4. σ. 211.

(2) Ἴδ. Κ. Οἰκονόμ., περὶ τῆς γνησίας προφορᾶς τῆς ἑλληνικῆς γλώσσης, σελ. 386.

(3) Ἴδ. ἐφημερ. Πανδώρ. XVI σ. 454.

(4) Ἴδ. Πλάτ. Πολιτ. Η, XVI. — Ἡροδ. Δ. 105. — Παυσαν. Ε, ή. 2.

(5) Ἴδ. Ν. Πολίτου. μελέτ. ἐπὶ τοῦ β. τῶν νεωτέρων ἑλλήνων. σελ. 70.

(6) Πρβλ. Schmidt, das Volksleben der Neugriechen, S. 146. — Wachsmuth, das alte Griechenland im neuen. S. 81.

οἰκείων διάγουσι, (7) μόνον ἐν τῷ δωδεκαημέρῳ χρόνῳ, ἀπὸ τῆς Χριστοῦ δῆλα δὴ γεννήσεως μέχρι τῶν Θεοφανείων (8) ἢ τῆς βαπτίσεως αὐτοῦ καὶ ταῖς ἀνθρωπίναις κατοικίαις προσέρχονται μάλιστα δὲ ταῖς τῶν χριστιανῶν. Βλάβας μὲν πάνυ ὀλίγας πολὺν δ' ὅμως φόβον τοῖς τε παιδίοις καὶ τοῖς ἁπλοῖς τῶν ἄλλων ἀνθρώπων παρέχουσι, κατερχόμενοι, ὡς πιστεύουσι, διὰ τῶν καπνοδοχῶν (9) νυκτὸς εἰς τὰς οἰκίας ὅπως τὰς ὑλακὰς τῶν κυνῶν διαφεύγωσι, οἵ περ τὴν πᾶσαν νύκτα πρὸ τῶν θυρῶν φυλάττουσιν· ὅθεν οἱ πολλοὶ ταῖς καπνοδόχαις ὀβελοὺς (10) ἐμβάλλουσιν, ὅπως καταφερόμενοι ὑπ' αὐτῶν κεντηθῶσι καὶ οὕτως ὑποστρέψωσι· συνήθως δ' εἰς τοὺς μύλους (11) εἰσέρχονται, ἔνθα τὰ κείμενα ἄλευρα καὶ τοὺς σίτους ἐν αὐτοῖς οὐροῦντες μολύνουσι.

Τῇ πέμπτῃ δὲ καὶ ἕκτῃ Ἰανουαρίου μηνός, ὅθ' οἱ ἱερεῖς ἁγιασθέντι ὕδατι τὰς οἰκίας περιερχόμενοι ῥαίνουσιν, ἐκπλαγεῖς φεύγοντες λέγουσι τάδε·

«Ἐλᾶτε νὰ φύγωμεν, ἔφθασ' ὁ ζουρλόπαππας (12) μὲ τὴν ἁγιαστῆρά του (13) καὶ μὲ τὴν ποτῆρά

---

(7) Ἴδ. Ν. Πολίτην. σελ. 67.

(8) Πρβλ. Schmidt, S. 144. Ν. Πολίτ. αὐτόθι.

(9) Πρβλ. Schmidt S. 149.

(10) Καὶ ἐν Ζακύνθῳ κατὰ Schmidt διὰ καίοντος δαυλοῦ ταὐτὸ γίγνεται. Ἴδ. Schmidt, das Volksleben der Neugriechen. S. 150.

(11) Πρβλ. Ν. Πολίτου, μελέτην ἐπὶ τοῦ βίου τῶν νεωτέρων ἑλλήνων. σελ. 68.

(12) Ἡ λέξις σύνθετος ἐκ τοῦ ζουρλὸς=μωρὸς (ἴδ. Κοραῆ ἄτακτ. τ. 2. σ. 145) καὶ παππᾶς=ἱερεύς.

(13) Οὕτω καλεῖται ὁ σταυρὸς σὺν δέσμῃ ἀνθῶν, δι' ὧν ὁ ἱερεὺς ἁγιάζει τὰς οἰκίας ῥαίνων.

(14) του· νὰ μὴ μᾶς ἁγιάσῃ καὶ μᾶς μαγαρίσῃ (15).

Σὺν δ' ἄλλοις καὶ τόδε τοῦ κοινοτέρου ὄχλου πολὺ θαυμαστόν· νομίζει γάρ τις, ὡς τὰ ἐν ᾧ χρόνῳ οἱ Καλικάντζαροι τοῖς ἀνθρώποις παραγίγνονται γεννώμενα τέκνα χαρκαντζόγλοι (16) γίγνεται καὶ τὰς νύκτας ἀνὰ τὰς ὁδοὺς περιτρέχοντα τοὺς διαβαίνοντας βλάπτει· μόλις δ' ἀλέκτορος φωνοῦντος οἴκαδ' ἐπανέρχεται (17).

Οἱ Καλικάντζαροι μέν τοι σχεδὸν ὅμοιοι τοῖς τῶν ἀρχαίων δοκοῦσι σατύροις· ἐκείνους τε γάρ, ὥσπερ οὗτοι, πόδας αἰγός, κέρατα καὶ ἄλλα ζώοις ἴδια ἔχειν μυθολογεῖται (18)· πρὸς δὲ καὶ οἱ τοῦ μέσου αἰῶνος Κόβαλοι (19) παραπλήσιοι φαίνονται.

Ἡγεῖται δέ τις αὐτοὺς πονηροὺς εἶναι δαίμονας, (20) διότι προφαίνονται ἐν ἱεραῖς μόνον ἡμέραις, πειρώμενοι, ἵνα τοὺς ὀπαδοὺς τοῦ Χριστοῦ παρασύρωσι.

---

(14) Ποτήρα δ' ἐστὶ τὸ σκεῦος, ὅπερ τὸ ἁγίασμα (ἡγιασμένον ὕδωρ) ἐμπεριέχει.

(15) Μαγαρίζειν ταὐτὸ τῷ μιαίνειν, μολύνειν. Ἴδ. τ. λεξ. ἐν Κοραῆ ἀτάκτ. τ. 2. σ. 145.— Πρβλ. καὶ Schmidt, S. 151.— Ν. Πολίτην, σελ. 69.

(16) Καὶ ἀλβανιστὶ οὕτω λέγεται· οὐκ ἄρ' ἀπίθανον, ὅτι καὶ Καλικάντζαρος ἀλβανικὴ ἐστι λέξις ἐκ ταύτης παραχθεῖσα. Πρβλ. Hahn, albanesische studien 1 Bd. S. 163.

(17) Πρβλ. C. Wachsmuth, das alte Griechenland im neuen. S. 80.— Schmidt, S. 145.

(18) Ἴδ. Ἡρόδ. Δ. 25.— Κ. Κοντογόνου Μυθολογ. σελ. 46.— Πρβλ. καὶ Παυσαν. Ἀττ. 23.

(19) Ἴδ. Grimm, deutsche Mythologie S. 416.

(20) Πρβλ. Ν. Πολίτου, μελέτη ἐπὶ τοῦ β. τῶν νεωτέρων ἑλλήνων, σελ. 76.

Σημείωσις. Μετὰ τὴν 8ην σελίδα ἐσημειώθη κατὰ τυπογραφικὸν λάθος ὡς αὔξων ἀριθμὸς σελίδος 17, ἀντὶ 9 καὶ ἑξῆς.